τι ἐπιδέξασθαι, καὶ μὴ πνεύσωσιν οἱ ἄνεμοι τοῦ ἁγίου
something to-receive and not blow the winds of-the holy
Πνεύματος τῇ ψυχῇ, καὶ ἐὰν μὴ ἐπιφανῇ οὐράνια νέφη,
Spirit on-the soul and unless — appear heavenly clouds
καὶ κατέλθῃ ἐξ οὐρανοῦ ὑετός, καὶ ἐπιβρέξῃ τῇ ψυχῇ, οὐ
and come-down from heaven rain and rain-upon the soul not
δύναται ὁ ἄνθρωπος καρποὺς ἀξίους ἀποδοῦναι τῷ Κυρίῳ.
can the man fruits worthy to-render to-the Lord
Γέγραπται δέ, ὅτι Ὁ γεωργὸς ὅταν ἴδῃ τὸ κλῆμα φέρον 20
it-is-written and that the farmer when he-sees the branch bearing
καρπόν, καθαρίζει αὐτό, ἵνα πλείονα ἐξενέγκῃ· τὸ δὲ
fruit cleanses it that more it-may-bring-forth the(-one) but
μὴ φέρον καρπὸν ἐκριζοῖ, καὶ εἰς καῦσιν δίδωσι. Πλὴν τοῦ
not bearing fruit he-uproots and for burning gives but of-the
ἀνθρώπου τοῦτό ἐστιν, ἵνα εἴτε νηστεύσει, εἴτε ἀγρυπνεῖ,
man this is that whether he-fast or keep-vigil
εἴτε εὔχεται, εἴτε καλόν τι ποιεῖ, ἐπιγράφῃ ἅπαντα
or pray or good something do he-ascribe all
τῷ Κυρίῳ, τοῦτο λέγων, ὅτι Εἰ μὴ ὁ Θεὸς ἐνεδυνάμωσέ
to-the Lord this saying that if not — God had-strengthened
με, οὐκ ἠδυνάμην νηστεύειν, ἢ εὔχεσθαι, ἢ ἐκ τοῦ κόσμου
me not I-could to-fast or to-pray or from the world

ἀπελθεῖν. Καὶ οὕτω βλέπων ὁ Θεὸς τὴν ἀγαθήν σου
to-go-away and thus seeing — God the good your
προαίρεσιν, ὅτι τὰ σά, ἅπερ ἀπὸ φύσεως ποιεῖς, τῷ Θεῷ
choice that the yours which by nature you-do — to-God
ἐπιγράφεις, πάλιν αὐτὸς τὰ ἴδια αὐτοῦ, τὰ πνευματικά, τὰ
you-ascribe again he the own his the spiritual the
θεῖα καὶ ἐπουράνια, σοὶ ταῦτα χαρίζεται, τίνα δέ ἐστιν;
divine and heavenly to-you these(-things) he-grants which but are
οἱ τοῦ Πνεύματος καρποί, ἀγαλλίασις, καὶ εὐφροσύνη.
the of-the Spirit fruits exultation and gladness

21 Ἐρώτησις. Ἀλλ' ἐπειδή εἰσι φυσικοὶ καρποὶ τούτοις
question but since there-are natural fruits to-these
ὅμοιοι, ἀγάπη, πίστις, εὐχή, διάκρινον ἡμῖν, πῶς ἐστι τὰ
like love faith prayer distinguish for-us how are the
πνευματικά;
spiritual(-ones)

Ἀπόκρισις. Τὰ σὰ ἃ ποιεῖς, καλὰ μέν ἐστι καὶ τῷ
answer the yours which you-do good indeed are and —
Θεῷ εὐπρόσδεκτα, ἀλλ' οὐκ ἔστι καθαρά· οἷον, ἀγαπᾷς
to-God acceptable but not they-are pure for-example you-love
τὸν Θεόν, ἀλλ' οὐ τελείως· ἔρχεται ὁ Κύριος, δίδωσιν
— God but not perfectly comes the Lord gives
ἀγάπην ἄτρεπτον τὴν ἐπουράνιον. Εὔχῃ σὺ φυσικῶς
love unchangeable the heavenly you-pray you naturally
μετὰ τοῦ ῥέμβεσθαι καὶ διαλογίζεσθαι· δίδωσί σοι ὁ Θεὸς
with the to-wander and to-reason gives you — God
τὴν καθαρὰν εὐχήν, ἐν Πνεύματι καὶ ἀληθείᾳ. Ἐν τοῖς
the pure prayer in Spirit and truth in the
φαινομένοις, ἡ γῆ ὡς ἐπὶ τὸ πλεῖστον ἀφ' ἑαυτῆς ἐκφέρει
visible(-things) the earth as for the most(-part) of itself brings-forth
τὰς ἀκάνθας· ὁ δὲ γεωργὸς σκάπτει, ἐργάζεται ἐπιμελῶς,
the thorns the but farmer digs works carefully

βάλλει σπόρον· ἀλλ᾽ αἱ ἄκανθαι μὴ σπειρόμεναι, ἀναφύουσι,
casts seed but the thorns not sown spring-up
καὶ πληθύνονται· μετὰ γὰρ τὴν παράβασιν ἐῤῥέθη τῷ
and multiply after for the transgression it-was-said —
Ἀδάμ, Τριβόλους καὶ ἀκάνθας ἀνατελεῖ σοι ἡ γῆ. Πάλιν
to-Adam thistles and thorns shall-bring-up for-you the earth again
ὁ γεωργὸς ἐκπονεῖ τῇ γῇ, ἀνασκάπτει τὰς ἀκάνθας,
the farmer toils-at the earth digs-up the thorns
καὶ αὗται ἔτι πληθύνονται. Ἀνάλαβε τοῦτο πνευματικῶς·
and these still multiply take this spiritually
μετὰ γὰρ τὴν παράβασιν ἡ γῆ ἐκ τῆς καρδίας ἐκφέρει
after for the transgression the earth of the heart brings-forth
ἀκάνθας καὶ τριβόλους· ἐργάζεται ὁ ἄνθρωπος, ἐκπονεῖ,
thorns and thistles works the man toils
καὶ ἔτι αἱ ἄκανθαι τῶν πονηρῶν πνευμάτων ἀναφύονται.
and still the thorns of-the evil spirits spring-up
Εἶτα αὐτὸ τὸ ἅγιον Πνεῦμα συναντιλαμβάνεται τῆς
then the-very the holy Spirit helps-with the
ἀσθενείας τῶν ἀνθρώπων, καὶ ὁ Κύριος βάλλει ἐν αὐτῇ
weakness of-the men and the Lord casts in the-very
τῇ γῇ τῆς καρδίας σπόρον ἐπουράνιον, καὶ ἐργάζεται
the earth of-the heart seed heavenly and works
αὐτήν· καὶ πεσόντος τοῦ σπόρου, ἀκμὴν οἱ τρίβολοι
it and having-fallen the seed still the thistles
καὶ ἄκανθαι ἀναφύονται. Πάλιν αὐτὸς ὁ Κύριος, καὶ
and thorns spring-up again the-very the Lord and
ὁ ἄνθρωπος ἐργάζονται τὴν γῆν τῆς ψυχῆς, καὶ ἑπτὰ
the man work the earth of-the soul and seven
πονηρὰ πνεύματα καὶ αἱ ἄκανθαι βρύουσιν ἐκεῖ, καὶ
evil spirits and the thorns teem there and

ἀναφύονται, ἕως οὗ γένηται θέρος, καὶ πλεονάσῃ ἡ χάρις,
spring-up until — be summer and abound the grace
καὶ καταξηρανθῶσιν ἐκ τῆς θέρμης τοῦ ἡλίου αἱ ἄκανθαι.
and be-dried-up from the heat of-the sun the thorns
22 Εἰ γὰρ καὶ σύνεστι κακία τῇ φύσει, ἀλλ' οὔπω κατακυριεύει
if for even is-present vice in-the nature but not-yet does-it-lord-it-over
ταύτης, ἢ ἔχει νομήν. Τὰς γὰρ τρυφερὰς χλόας τοῦ
her or has pasture the for tender shoots of-the
σίτου δύναται τὰ ζιζάνια συμπνίγειν. Φθάσαντος δὲ θέρους
wheat can the tares choke having-come but summer
μετὰ τὸ ξηρανθῆναι τοὺς καρπούς, οὐδὲν βλάπτουσι τὰ
after the to-be-dried the fruits in-nothing harm the
ζιζάνια τὸν σῖτον. Καὶ γὰρ ἐὰν συμβῇ τριάκοντα μοδίους
tares the wheat and for if it-happen thirty measures
εἶναι, καθαροῦ σίτου, ἔστι γὰρ μίξις ἐκεῖ ζιζανίων,
to-be of-pure wheat there-is for (a)-mixture there of-tares
ὡς χοίνικος τι παραφαίνεσθαι· κέχωσται γὰρ διὰ
as of-(a)-choenix something to-appear it-is-buried for because-of
τὸν πλεονασμὸν τοῦ σίτου· οὕτω καὶ ἐν τῇ χάριτι, ὅταν
the abundance of-the wheat thus also in the grace when
πλεονάσῃ ἡ δωρεὰ τοῦ Θεοῦ, καὶ ἡ χάρις εἰς τὸν
abounds the gift — of-God and the grace in the
ἄνθρωπον, καὶ πλουτῇ εἰς τὸν Κύριον, συνῇ δὲ ἡ κακία
man and he-is-rich toward the Lord be-present but the vice
μερικῶς, οὐ δύναται καταβλάψαι τὸν ἄνθρωπον, οὔτε ἔχει
partly not can to-harm the man nor has
ἰσχύν τινα, ἢ νομὴν κατ' αὐτοῦ. Ἡ γὰρ τοῦ Κυρίου ἔλευσις,
strength any or pasture against him the for of-the Lord coming
καὶ ἡ πρόνοια διὰ τοῦτο γέγονεν, ἵνα τοὺς τῇ κακίᾳ
and the providence because-of this has-come-about that the(-ones) to-the vice
δεδουλωμένους ὄντας, καὶ ἐνόχους, καὶ ὑποτεταγμένους
enslaved being and liable and subjected

ἐλευθερώσῃ, καὶ ποιήσῃ νικητὰς τοῦ θανάτου καὶ τῆς
he-may-free and make conquerors of-the death and of-the
ἁμαρτίας. Οὐκ ὀφείλουσιν οὖν ἀδελφοὶ ξενίζεσθαι, εἴτε
sin not ought then brothers to-be-surprised whether
ὑπό τινων θλίβονται πρὸς τὸ κακίας ἀπαλλαγῆναι.
by some they-are-afflicted for the from-vice to-be-delivered
Καὶ γὰρ εἰς τὸ παλαιὸν Μωσῆς καὶ Ἀαρὼν ἔχοντες 23
and for in the old(-covenant) Moses and Aaron having
τὴν ἱερωσύνην, πολλὰ ἔπαθον· Καϊάφας δὲ τὴν ἐκείνων
the priesthood many(-things) suffered Caiaphas but the their
καθέδραν ἔχων, αὐτὸς ἐδίωξε καὶ κατέκρινε τὸν Κύριον·
seat having he persecuted and condemned the Lord
ὅμως δὲ τὴν ἱερωσύνην ὁ Κύριος τιμῶν, ἀφῆκεν
nevertheless and the priesthood the Lord honoring allowed
αὐτὸ γενέσθαι· ὁμοίως οἱ προφῆται ὑπ' αὐτοῦ τοῦ
it to-be likewise the prophets by the-very the
ἔθνους ἐδιώκοντο. Λοιπὸν Πέτρος Μωσέα διεδέξατο, τὴν
nation were-persecuted henceforth Peter Moses succeeded the
καινὴν Ἐκκλησίαν Χριστοῦ, καὶ τὴν ἀληθινὴν ἱερωσύνην
new Church of-Christ and the true priesthood
ἐγχειρισθείς. Νῦν γάρ ἐστι βάπτισμα πυρὸς καὶ
having-been-entrusted now for there-is (a)-baptism of-fire and
Πνεύματος, καὶ περιτομή τις ἐν καρδίᾳ γινομένη. Τὸ
of-Spirit and circumcision some in (the)-heart taking-place the
γὰρ θεῖον καὶ ἐπουράνιον Πνεῦμα ἐπιδημεῖ ἐν τῷ νῷ·
for divine and heavenly Spirit sojourns in the mind
πλὴν οὔτε οὗτοι οἱ τέλειοι, ἕως εἰσὶν εἰς τὴν σάρκα,
but not-even these the perfect(-ones) as-long-as they-are in the flesh
ἀμεριμνοῦσι διὰ τὸ αὐτεξούσιον, ἀλλ' ἔμφοβοί εἰσι· διὸ
are-free-from-care because-of the self-determination but in-fear are wherefore
καὶ παραχωροῦνται πειράζεσθαι. Εἰ δὲ φθάσει ἡ ψυχὴ
also they-are-permitted to-be-tempted if but shall-attain the soul

πρὸς ἐκείνην τὴν πόλιν τῶν ἁγίων ἀπελθεῖν, τότε δύναται
to that the city of-the saints to-go-away then it-can
μόνον ἄνευ θλίψεως καὶ πειρατηρίων εἶναι· Ἐκεῖ γὰρ οὐκέτι
only without affliction and temptations to-be there for no-longer
ἐστὶ μέριμνα, ἢ θλῖψις, ἢ πόνος, ἢ γῆρας, ἢ Σατανᾶς, ἢ
is care or affliction or toil or old-age or Satan or
πόλεμος· ἀλλ' ἀνάπαυσις, χαρά, εἰρήνη, καὶ σωτηρία. Ὁ
war but rest joy peace and salvation the
γὰρ Κύριος ἐν μέσῳ αὐτῶν ἐστιν, ὃς ἐπικαλεῖται Σωτὴρ
for Lord in (the)-midst of-them is who is-called Savior
διὰ τὸ σώζειν τοὺς αἰχμαλώτους· ἰατρὸς ἐπικέκληται,
because-of the to-save the captives physician he-is-named
ἐπειδὴ οὐράνιον καὶ θεϊκὸν φάρμακον δίδωσι, καὶ ἰᾶται
since heavenly and divine medicine he-gives and heals
τὰ πάθη τῆς ψυχῆς· ἔν τισι γὰρ κυριεύουσι τοῦ
the passions of-the soul in some(-ones) for they-lord-it-over the
ἀνθρώπου· πρὸς λόγον δὲ εἰπεῖν, ἔστι Βασιλεὺς καὶ Θεός,
man in (a)-word but to-say there-is (a)-King and God
ὁ Ἰησοῦς· τύραννος δὲ καὶ ἄρχων κακός, ὁ Σατανᾶς.
— Jesus (a)-tyrant but and ruler evil — Satan
24 Λοιπὸν ὁ Θεὸς καὶ οἱ ἄγγελοι αὐτοῦ τὸν ἄνθρωπον τοῦτον
henceforth — God and the angels his the man this
βούλονται οἰκειώσασθαι μεθ' ἑαυτῶν εἰς τὴν βασιλείαν·
wish to-make-their-own with themselves into the kingdom
ὁμοίως ὁ διάβολος καὶ οἱ ἄγγελοι αὐτοῦ θέλουσιν
likewise the devil and the angels his wish
οἰκειώσασθαι τοῦτον εἰς ἑαυτούς. Μέση οὖν ἐστιν ἡ ψυχὴ
to-make-their-own this(-man) to themselves between then is the soul
τῶν δύο ὑποστάσεων, καὶ λοιπὸν εἰς οἷον ἂν μέρος
the two substances and henceforth to whichever — part
ῥέψῃ τὸ θέλημα τῆς ψυχῆς, ἐκείνου γίνεται καὶ υἱός.
incline the will of-the soul of-that(-one) she-becomes also (a)-son

Ὥσπερ δὲ ἐὰν ἀποστείλῃ τις πατὴρ εἰς πατρίδα ξένην
as but if send some father into (a)-fatherland foreign
τὸν ἑαυτοῦ υἱόν, ὅπου ἀπαντῶσιν αὐτῷ καθ᾽ ὁδὸν θηρία,
the his-own son where meet him on (the)-road beasts
καὶ δίδωσιν αὐτῷ φάρμακα, καὶ ἀντίδοτα· ἵνα ἐὰν αὐτῷ
and he-gives him medicines and antidotes that if him
ἐπέλθωσι τὰ θηρία ἢ δράκοντες, ἐπιδῷ τὸ φάρμακον,
attack the beasts or serpents he-may-give the medicine
καὶ ἀποκτείνῃ αὐτά· οὕτως καὶ ὑμεῖς σπουδάσατε λαβεῖν
and kill them thus also you be-eager to-take
ἐπουράνιον φάρμακον, τὸ ἰαματικὸν καὶ ἀντίδοτον τῆς
heavenly medicine the healing and antidote of-the
ψυχῆς, ἵνα δι᾽ αὐτοῦ ἀποκτείνητε τὰ ἰοβόλα θηρία τῶν
soul that through it you-may-kill the venomous beasts of-the
ἀκαθάρτων πνευμάτων. Οὐκ ἔστι γὰρ εὔκολον πρᾶγμα,
unclean spirits not is for (an)-easy matter
καθαρὰν καρδίαν κτήσασθαι· εἰ μὴ μετὰ ἀγῶνος πολλοῦ
(a)-pure heart to-acquire except — with struggle much
καὶ καμάτου, ἵνα συνείδησιν καὶ καθαρὰν καρδίαν κτήσηται
and labor that (a)-conscience and pure heart may-acquire
ὁ ἄνθρωπος, ἵνα ὁλοτελῶς ἐκριζωθῇ τὸ κακόν.
the man that wholly be-uprooted the evil
Καὶ χάριν γὰρ συμβαίνει εἶναι εἴς τινα, καὶ ἡ καρδία οὐ 25
and grace for it-happens to-be in someone and the heart not
κεκαθάρισται· καὶ διὰ τοῦτο ἔπεσον οἱ πεσόντες,
has-been-cleansed and because-of this fell the(-ones) having-fallen
ὅτι οὐκ ἐπίστευσαν μετὰ τὴν χάριν συνεῖναι αὐτοῖς τὸν
because not they-believed after the grace to-be-present with-them the
καπνὸν καὶ τὴν ἁμαρτίαν· πάντες δὲ οἱ δίκαιοι διὰ τῆς
smoke and the sin all but the righteous through the
στενῆς καὶ τεθλιμμένης ὁδοῦ, μέχρι τέλους εὐηρέστησαν τῷ
narrow and afflicted way until (the)-end pleased —

Θεῷ. Ὁ Ἀβραὰμ κατὰ Θεὸν πλούσιος ὤν, καὶ κατὰ κόσμον,
God — Abraham before God rich being and before (the)-world
γῆν ἑαυτὸν καὶ σποδὸν ὠνόμαζεν· καὶ Δαβίδ, Ὄνειδος
earth himself and ashes named and David (a)-reproach
ἀνθρώπων, φησί, καὶ ἐξουδένωμα λαῶν, καὶ σκώληξ, καὶ
of-men he-says and (an)-object-of-contempt of-peoples and (a)-worm and
οὐκ ἄνθρωπος. Ὁμοίως πάντες οἱ ἀπόστολοι καὶ προφῆται
not (a)-man likewise all the apostles and prophets
κακουχούμενοι, ὀνειδιζόμενοι ἦσαν· αὐτὸς ὁ Κύριος ὅς
ill-treated reproached were the-very the Lord who
ἐστιν ὁδὸς καὶ Θεὸς ἐλθὼν οὐ δι' ἑαυτόν, ἀλλὰ διὰ
is (the)-way and God having-come not for himself but for
σέ, ἵνα σοι τύπος γένηται παντὸς ἀγαθοῦ, βλέπε
you that for-you (a)-pattern he-may-become of-every good see
εἰς ποίαν ταπείνωσιν ἦλθε, μορφὴν δούλου λαβών, Θεός,
to what humility he-came (the)-form of-(a)-slave having-taken God
Υἱὸς Θεοῦ, Βασιλεύς, Υἱὸς βασιλέως, διδοὺς μὲν αὐτὸς
Son of-God King Son of-(the)-king giving indeed he
ἰαματικὰ φάρμακα, καὶ θεραπεύων τοὺς τετραυματισμένους·
healing medicines and curing the wounded(-ones)
ἔξωθεν δὲ ὡς εἷς τῶν τετραυματισμένων φαινόμενος.
outwardly but as one of-the wounded appearing
26 Ἀλλὰ μὴ καταφρονήσῃς τοῦ θεϊκοῦ ἀξιώματος, βλέπων
but not despise the divine dignity seeing
αὐτὸν ἔξωθεν τεταπεινωμένον ὡς ὅμοιον ἡμῖν· δι' ἡμᾶς
him outwardly humbled as like to-us for us
οὕτως ἐφάνη, οὐ δι' ἑαυτόν. Ἐννόησον ἐν ᾗ ὥρᾳ ἔκραζον,
thus he-appeared not for himself consider in which hour they-cried
Σταύρωσον, σταύρωσον αὐτόν, καὶ ὁ ὄχλος συνήρχετο,
crucify crucify him and the crowd gathered
πῶς ἦν τεταπεινωμένος παρὰ πάντας. Ὥσπερ ἐν τοῖς
how he-was humbled beyond all as in the

φαινομένοις, ἐὰν ᾖ κακοποιός, καὶ λάβῃ ἀπόφασιν παρὰ
visible(-things) if there-be (an)-evildoer and he-receive sentence from
τοῦ ἄρχοντος, λοιπὸν ὑπὸ τοῦ δήμου ὅλου βδελυκτός ἐστι
the ruler henceforth by the people whole abominable he-is
καὶ ἐξουδενωμένος. Οὕτως ὁ Κύριος ἐν τῇ ὥρᾳ τοῦ σταυροῦ·
and despised thus the Lord in the hour of-the cross
ὡς ἄνθρωπος μέλλων ἀποθνήσκειν κατευτελισμένος ἦν ὑπὸ
as (a)-man about to-die made-cheap was by
τῶν Φαρισαίων. Ὅτε δὲ πάλιν ἐνέπτυσαν εἰς τὸ πρόσωπον
the Pharisees when and again they-spat into the face
αὐτοῦ, καὶ ἐπέθηκαν αὐτῷ ἀκάνθινον στέφανον, καὶ
his and put-on him (a)-thorny crown and
ἐῤῥάπισαν αὐτόν, ποίαν οὐχ ὑπερέβη ταπείνωσιν! Γέγραπται
struck him what not he-surpassed humility it-is-written
γάρ, ὅτι Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, καὶ τὸ
for that the back my I-have-given to scourges and the
πρόσωπόν μου οὐκ ἀπεστράφη ἀπὸ αἰσχύνης ἐμπτυσμάτων,
face my not was-turned-away from (the)-shame of-spittings
καὶ τὰς σιαγόνας μου ἀπὸ ῥαπισμάτων. Εἰ δὲ ὁ Θεὸς
and the cheeks my from blows if but — God
εἰς τοσαύτας ὕβρεις, καὶ πάθη, καὶ ταπείνωσιν κατῆλθε,
to so-great insults and sufferings and humility came-down
σὺ ὁ φύσει βόρβορος καὶ φύσεως θνητῆς, ὅσα
you the(-one) by-nature mud and of-nature mortal however-much
ἂν ταπεινωθῇς, οὐδὲν ὅμοιον τῷ Δεσπότῃ σου ποιήσεις.
— you-be-humbled nothing like to-the Master your will-you-do
Ὁ Θεὸς διὰ σὲ ἑαυτὸν ἐταπείνωσε, καὶ σὺ διὰ σεαυτὸν οὐ
— God for you himself humbled and you for yourself not
ταπεινοῦσαι, ἀλλ᾽ ἐπαίρῃ καὶ τυφοῦσαι· ἦλθε γὰρ τὰς
are-humbled but are-lifted-up and are-puffed-up he-came for the
θλίψεις καὶ τὰ βάρη λαβεῖν, καὶ τὴν αὐτοῦ ἀνάπαυσίν
afflictions and the burdens to-take and the his rest

σοι δοῦναι· καὶ σὺ οὐ θέλεις πόνους βαστάσαι καὶ παθεῖν,
to-you to-give and you not wish pains to-bear and to-suffer
ἵνα οὕτω δυνηθῇς σου τὰ τραύματα ἰάσεως τυχεῖν. Δόξα
that thus may-be-able your the wounds healing to-obtain glory
τῇ ἀνοχῇ καὶ μακροθυμίᾳ αὐτοῦ, εἰς τοὺς αἰῶνας. Ἀμήν.
to-the forbearance and long-suffering his for the ages amen

XXVII · THE DIGNITY OF THE CHRISTIAN

Man is Christ's brother and the heavenly bridegroom's bride, and the Christian mystery is no common thing. In questions and answers the preacher explains why grace withdraws, lest a man be puffed up like a pauper who finds a purse, and why even the perfect keep their freedom, with cautionary cases of gifted ascetics and confessors who fell short of perfect love. Talking about bread is not eating it; the Christian life is a taste of the truth, won by struggle against a real opponent.

1 Γνῶθί σου τὴν εὐγένειαν, ὦ ἄνθρωπε, καὶ τὸ ἀξίωμα·
know your the nobility O man and the dignity
πῶς τίμιος εἶ, ἀδελφὸς Χριστοῦ, φίλος βασιλέως,
how precious you-are brother of-Christ friend of-(the)-king
νύμφη τοῦ ἐπουρανίου Νυμφίου. Ὁ γὰρ δυνηθεὶς
bride of-the heavenly Bridegroom the(-one) for having-been-able
ἐπιγνῶναι τὸ ἀξίωμα τῆς ἑαυτοῦ ψυχῆς, οὗτος δύναται
to-recognize the dignity of-the his-own soul this(-man) can
ἐπιγνῶναι τὴν δύναμιν, καὶ τὰ μυστήρια τῆς θεότητος,
to-recognize the power and the mysteries of-the divinity
καὶ μᾶλλον ἐντεῦθεν ταπεινωθῆναι· ἐπειδὴ διὰ δυνάμεως
and more from-this to-be-humbled since through power
Θεοῦ, βλέπει τις τὴν πτῶσιν ἑαυτοῦ. Ἀλλ' ὃν τρόπον
of-God sees someone the fall his-own but in-what way
αὐτὸς διὰ παθημάτων καὶ σταυροῦ παρῆλθε, καὶ οὕτως
he through sufferings and cross passed and thus

ἐδοξάσθη, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρός· καὶ
was-glorified and sat at (the)-right-hand of-the Father and
οὕτω χρὴ καὶ σὲ συμπαθεῖν, καὶ συσταυρωθῆναι,
thus (it)-is-needful also you to-suffer-with(-him) and to-be-crucified-with(-him)
καὶ οὕτως ἀνελθεῖν, καὶ συγκαθίσαι, καὶ συναφθῆναι τῷ
and thus to-go-up and to-sit-with(-him) and to-be-joined to-the
σώματι τοῦ Χριστοῦ, καὶ πάντοτε συμβασιλεύειν ἐν ἐκείνῳ
body — of-Christ and always to-reign-with(-him) in that
τῷ αἰῶνι, εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.
the age if-indeed we-suffer-with(-him) that also we-may-be-glorified-with(-him)
Ὅσοι γὰρ δυνηθῶσι περιγενέσθαι καὶ παρελθεῖν τοὺς 2
as-many-as for are-able to-prevail and to-pass the
θριγκοὺς τῆς κακίας, εἰσέρχονται εἰς τὴν ἐπουράνιον
copings of-the vice enter into the heavenly
πόλιν, τὴν εἰρηνευομένην καὶ μεστὴν πολλῶν ἀγαθῶν,
city the(-city) at-peace and full of-many goods
ὅπου τὰ πνεύματα τῶν δικαίων ἀναπαύονται. Δεῖ
where the spirits of-the righteous rest (one)-must
οὖν ὑπὲρ τούτου μεγάλως πονῆσαι καὶ ἀγωνίσασθαι· οὐ
then for this greatly to-toil and to-strive not
γάρ ἐστι δίκαιον τὸν Νυμφίον διὰ σὲ ἐλθόντα παθεῖν
for (it)-is just the Bridegroom for you having-come to-suffer
καὶ σταυρωθῆναι, καὶ τὴν νύμφην, δι' ἣν ὁ Νυμφίος
and to-be-crucified and the bride for whom the Bridegroom
παρεγένετο, καυχουμένην εἶναι καὶ ῥέμβεσθαι· ὥσπερ γὰρ
came boasting to-be and to-wander as for
ἐν τοῖς φαινομένοις, ἐὰν ᾖ τις πόρνη, πᾶσιν ἐπιδίδωσιν
in the visible(-things) if there-be some harlot to-all she-gives
ἑαυτὴν ἀτάκτως· οὕτω καὶ ἡ ψυχὴ παντὶ ἐπιδέδωκεν
herself disorderly thus also the soul to-every has-given
ἑαυτὴν δαίμονι, καὶ φθείρεται ὑπὸ τῶν πνευμάτων. Εἰσὶ
herself demon and is-corrupted by the spirits there-are

γὰρ οἱ ἔχοντες τὴν ἁμαρτίαν, καὶ τὸ κακὸν κατὰ
for the(-ones) having the sin and the evil according-to
προαίρεσιν· τινὲς δὲ παρὰ προαίρεσιν. Καὶ τί ἐστι
choice some but against choice and what are
ταῦτα; οἱ μὲν κατὰ προαίρεσιν ἔχοντες τὸ κακόν,
these(-things) the(-ones) indeed according-to choice having the evil
οὗτοί εἰσιν οἱ τὸ ἑαυτῶν θέλημα ἐπιδιδόντες τῇ
these are the(-ones) the their-own will giving to-the
κακίᾳ, καὶ συνηδόμενοι, καὶ φιλιάζοντες, οὗτοι εἰρήνην
vice and rejoicing-with(-it) and befriending(-it) these peace
ἔχουσι μετὰ τοῦ Σατανᾶ, καὶ οὐ ποιοῦσι πόλεμον ἐν τοῖς
have with — Satan and not make war in the
λογισμοῖς μετὰ τοῦ διαβόλου. Οἱ δὲ παρὰ προαίρεσιν,
thoughts with the devil the(-ones) but against choice
οὗτοι ἔχουσι τὴν ἑαυτοῖς ἁμαρτίαν ἀντιστρατευομένην ἐν
these have the in-themselves sin warring in
τοῖς μέλεσιν αὐτῶν, κατὰ τὸν Ἀπόστολον. Καὶ ἔστιν
the members their according-to the Apostle and there-is
ἡ ὁμιχλώδης δύναμις, καὶ τὸ κάλυμμα παρὰ προαίρεσιν,
the misty power and the veil against choice
καὶ οὐ συμφωνοῦσιν ἐν τοῖς λογισμοῖς, οὔτε συνήδονται,
and not they-agree in the thoughts nor rejoice-with(-it)
ἢ ὑπακούουσιν, ἀλλ' ἀντιλέγουσι, καὶ ἀντιπράττουσιν,
or obey but they-contradict and act-against(-it)
ὀργίζονται ἑαυτοῖς. Οὗτοι πολύ εἰσι καλλίονες καὶ
are-angry with-themselves these much are better and
τιμιώτεροι παρὰ Θεῷ, ὑπὲρ ἐκείνους τοὺς ἰδίᾳ προαιρέσει
more-precious before God than those the(-ones) by-own choice
τὸ θέλημα αὐτῶν ἐπιδιδόντας τῇ κακίᾳ, καὶ συνηδομένους.
the will their giving to-the vice and rejoicing-with(-it)

Ὥσπερ ἐὰν ἦ βασιλεύς, καὶ εὕρῃ πενιχράν τινα κόρην 3
as if there-be (a)-king and he-find poor some girl
ῥάκη ἐνδεδυμένην, καὶ μὴ ἐπαισχυνθῇ, ἀλλὰ ἄρῃ αὐτῆς τὰ
rags wearing and not be-ashamed but take-off her the
ῥυπαρὰ ἐνδύματα, καὶ ἀποπλύνῃ τὴν μελανίαν, καὶ κοσμήσῃ
filthy garments and wash-off the blackness and adorn
αὐτὴν ἐνδύμασι λαμπροῖς, καὶ ποιήσῃ αὐτὴν κοινωνὸν
her with-garments bright and make her partner
βασιλέως, καὶ τῆς τραπέζης αὐτοῦ, καὶ τῆς εὐωχίας μεταδῷ
of-(the)-king and of-the table his and of-the feast give-a-share
αὐτῇ· οὕτως καὶ ὁ Κύριος εὗρε τὴν ψυχὴν τετραυματισμένην,
to-her thus also the Lord found the soul wounded
καὶ πεπληγμένην, καὶ ἔδωκεν αὐτῇ φάρμακον, καὶ ἐξέδυσεν
and stricken and gave her medicine and stripped-off
αὐτὴν τὰ μέλανα ἐνδύματα, καὶ τὴν αἰσχρότητα τῆς
her the black garments and the shamefulness of-the
κακίας, καὶ ἐνέδυσεν αὐτὴν ἐνδύματα βασιλικά, ἐπουράνια,
vice and clothed her (in)-garments royal heavenly
τῆς θεότητος, φωτεινά, καὶ ἔνδοξα· καὶ ἐπέθηκεν αὐτῇ
of-the divinity luminous and glorious and put-on her
στέφανον, καὶ ἐποίησεν αὐτὴν κοινωνὸν τραπέζης βασιλικῆς
(a)-crown and made her partner of-(the)-table royal
εἰς χαρὰν καὶ ἀγαλλίασιν. Καὶ ὥσπερ ἐὰν ἦ παράδεισος,
for joy and exultation and as if there-be (a)-paradise
καὶ ἔχῃ ἐκεῖ δένδρα καρποφόρα, καὶ ὅλα εὐώδη, καὶ ὦσιν
and it-have there trees fruit-bearing and all fragrant and there-be
ἐκεῖ τόποι πολλοὶ ἐπιτερπεῖς, ὅλοι ὡραῖοι καὶ πεπληρωμένοι
there places many delightful all beautiful and filled
εὐωδίας καὶ ἀναπαύσεως· καὶ ὅστις ἂν ἀπέλθῃ ἐκεῖ,
with-fragrance and rest and whoever — go-away there
εὐφραίνεται καὶ ἀναπαύεται· οὕτως γίνονται αἱ ψυχαὶ
rejoices and rests thus become the souls

ἐν τῇ βασιλείᾳ, ὅλαι εἰσὶν ἐν χαρᾷ, καὶ εὐφροσύνῃ, καὶ
in the kingdom all are in joy and gladness and
εἰρήνῃ· βασιλεῖς καὶ κύριοί εἰσι καὶ θεοί. Γέγραπται γάρ,
peace kings and lords they-are and gods it-is-written for
Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων.
King of-the reigning(-ones) and Lord of-the lording(-ones)
4 Οὐκ ἔστιν οὖν τὸ τυχὸν ὁ Χριστιανισμός· τὸ γὰρ
not is then the chance(-thing) the Christianity the for
μυστήριον τοῦτο μέγα ἐστίν. Ἐπίγνωθι οὖν σου τὴν
mystery this great is recognize then your the
εὐγένειαν, ὅτι εἰς βασιλικὸν ἀξίωμα ἐκλήθης, γένος
nobility that to (a)-royal dignity you-were-called (a)-race
ἐκλεκτόν, ἱεράτευμα καὶ ἔθνος ἅγιον· τὸ γὰρ μυστήριον
chosen (a)-priesthood and (a)-nation holy the for mystery
τοῦ Χριστιανισμοῦ ξένον ἐστὶ τοῦ κόσμου τούτου. Ἡ μὲν
of-the Christianity strange is to-the world this the indeed
φαινομένη δόξα τοῦ βασιλέως, καὶ ὁ πλοῦτος, ἐπίγειά ἐστι,
visible glory of-the king and the wealth earthly are
καὶ φθαρτά, καὶ παρερχόμενα· ἐκείνη δὲ ἡ βασιλεία, καὶ
and corruptible and passing-away that but the kingdom and
ὁ πλοῦτος, πράγματά ἐστι θεῖα, πράγματα ἐπουράνια καὶ
the wealth matters are divine matters heavenly and
ἔνδοξα, μηδέποτε παρερχόμενα ἢ λυόμενα. Συμβασιλεύουσι
glorious never passing-away or dissolving they-reign-with
γὰρ τῷ ἐπουρανίῳ βασιλεῖ, ἐν τῇ ἐπουρανίῳ Ἐκκλησίᾳ·
for the heavenly king in the heavenly Church
καὶ πρωτότοκος μέν ἐστιν αὐτὸς ἐκ νεκρῶν, πρωτότοκοι
and firstborn indeed is he from (the)-dead firstborn
δὲ καὶ αὐτοί. Ἀλλὰ καίπερ τοιοῦτοι ὄντες ἐκλεκτοὶ καὶ
and also they but although such being chosen and
δόκιμοι παρὰ Θεῷ, παρ' ἑαυτοῖς εἰσιν ἐλάχιστοι, καὶ
approved before God before themselves they-are least and

λίαν ἀποδεδοκιμασμένοι· καὶ τοῦτο αὐτοῖς ὡς φυσικὸν
very rejected and this to-them as natural
καὶ πηκτόν ἐστι ταπεινοὺς ἢ τὸ μηδὲν ἑαυτοὺς ἡγεῖσθαι.
and fixed is humble or the nothing themselves to-consider
Ἐρώτησις. Οὐκ οἴδασιν οὖν, ὅτι προσθήκην ἔλαβον, καὶ 5
question not they-know then that addition they-received and
ὃ οὐκ εἶχον, ἐκτήσαντο, ξένον τῆς φύσεως αὐτῶν.
what not they-had they-acquired strange to-the nature their
Ἀπόκρισις. Ἐγὼ γάρ σοι λέγω, ὅτι οὐκ εἰσὶ
answer I for to-you say that not they-are
δεδοκιμασμένοι, καὶ οὐκ εἰσὶν ἐν προκοπῇ, καὶ ἀγνοοῦσιν,
approved and not they-are in advance and they-are-ignorant
ὡς ὃ οὐκ εἶχον ἐκτήσαντο. Ἀλλὰ τοιούτους ὄντας,
that what not they-had they-acquired but such being
αὐτὴ ἡ χάρις ἐλθοῦσα διδάσκει, μὴ ἔχειν τὴν ψυχὴν
the-very the grace having-come teaches not to-hold the soul
αὐτῶν τιμίαν, ὄντας ἐν προκοπῇ, ἀλλὰ φυσικῶς ἀτίμους
their precious being in advance but naturally dishonorable
ἑαυτοὺς ἡγεῖσθαι· καὶ παρὰ Θεῷ τίμιοι ὄντες παρ᾽ ἑαυτοῖς
themselves to-consider and before God precious being before themselves
οὐκ εἰσί. Καὶ ἐν προκοπῇ καὶ γνώσει Θεοῦ ὄντες, ὡς
not they-are and in advance and knowledge of-God being as
μηδὲν εἰδότες εἰσί· καὶ παρὰ Θεῷ πλούσιοι ὄντες, παρ᾽
nothing knowing they-are and before God rich being before
ἑαυτοῖς εἰσι· ὥσπερ δὲ ὁ Χριστὸς μορφὴν δούλου
themselves they-are(-poor) as but — Christ (the)-form of-(a)-slave
λαβών, διὰ τῆς ταπεινοφροσύνης ἐνίκησε τὸν διάβολον·
having-taken through the humility conquered the devil
οὕτως ἐξ ἀρχῆς ὁ ὄφις διὰ τῆς ὑψηλοφροσύνης
thus from (the)-beginning the serpent through the high-mindedness
καὶ τυφώσεως κατέστρεψε τὸν Ἀδάμ. Καὶ νῦν ὁ αὐτὸς
and conceit overthrew — Adam and now the same

ὄφις ἐνδομυχῶν ταῖς καρδίαις διὰ τυφώσεως καταβάλλει
serpent lurking in-the hearts through conceit casts-down
καὶ ἀπολύει τὸ γένος τῶν Χριστιανῶν.
and destroys the race of-the Christians

6 Ὥσπερ γὰρ ἐὰν ᾖ τις ἐλεύθερος, καὶ εὐγενὴς κατὰ
as for if there-be someone free and noble according-to
κόσμον καὶ πλοῦτον ἔχων πολύν, ἔτι προσοδεύηται,
(the)-world and wealth having much (and)-still have-revenue
καὶ εἰσάγῃ καρπούς, οὗτος ἀπονοεῖται καὶ θαῤῥεῖ ἑαυτῷ,
and bring-in fruits this(-man) loses-his-sense and is-bold in-himself
καὶ ἀβάστακτος ὢν πάντας λακτίζει, καὶ κολαφίζει· οὕτως
and unbearable being all kicks and buffets thus
εἰσί τινες μὴ ἔχοντες διάκρισιν, μικρὰν δὲ ἀνάπαυσιν
there-are some not having discernment little but rest
εὑρόντες καὶ εὐχήν, ἤρξαντο τυφοῦσθαι καὶ ἀπονοεῖσθαι καὶ
having-found and prayer they-began to-be-puffed-up and to-lose-their-sense and
κατακρίνειν· καὶ οὕτω κατέπεσον εἰς τὰ κατώτατα τῆς γῆς.
to-condemn and thus they-fell-down into the lowest(-parts) of-the earth
Ὁ γὰρ αὐτὸς ὄφις ὁ ἐκβαλὼν τὸν Ἀδὰμ διὰ τῆς
the for same serpent the(-one) having-cast-out — Adam through the
ὑψηλοφροσύνης, εἰπών, Ὡς θεοὶ γενήσεσθε· οὗτος καὶ νῦν
high-mindedness having-said as gods you-shall-be this(-one) also now
ἐν ταῖς καρδίαις ὑποβάλλει ὑψηλοφροσύνην, λέγων, Τέλειος
in the hearts suggests high-mindedness saying perfect
εἶ, ἀρκεῖ σοι, ἐπλούτησας, οὐ χρείαν ἔχεις, μακάριος
you-are it-suffices for-you you-are-rich not need you-have blessed
εἶ. Εἰσὶ δὲ ἕτεροι κατὰ κόσμον, οἱ πλοῦτον
you-are there-are but others according-to (the)-world the(-ones) wealth
μὲν ἔχοντες, τὸν δὲ προσοδεύοντες ἐν καρποῖς πολλοῖς,
indeed having it but increasing in fruits many
κατέχουσιν ἑαυτοὺς ἐν διακρίσει, καὶ οὔτε καυχῶνται, οὔτε
hold themselves in discernment and neither boast nor

ἐπαίρονται, ἀλλ᾽ εἰσὶν ἴσοι· οἴδασι γὰρ ὅτι μετὰ τὴν
are-lifted-up but they-are even they-know for that after the
πρόσοδον ἔρχεται ἀφορία. Καὶ πάλιν ὅταν ἐμπέσωσιν εἰς
revenue comes barrenness and again when they-fall into
ζημίαν καὶ ἀφορίαν, οὐ λυποῦνται, ἀλλ᾽ ἴσοι εἰσίν· οἴδασι
loss and barrenness not they-are-grieved but even they-are they-know
γὰρ ὅτι πάλιν διαδέχεται εὐφορία. Καὶ ἐν τούτοις ἐπιπολὺ
for that again succeeds fruitfulness and in these much
γυμνασθέντες οὐ ξενίζονται, οὔτε ἐν προσόδοις καὶ
trained not they-are-surprised neither in revenues and
εὐφορίαις τυφοῦνται, οὔτε ἐὰν ἐπέλθῃ ζημία, ξενίζονται.
fruitfulness are-they-puffed-up nor if come loss are-they-surprised
Τὸ οὖν πρᾶγμα τοῦ Χριστιανισμοῦ τοῦτό ἐστι· γεῦσις 7
the then matter of-the Christianity this is (a)-taste
ἀληθείας, βρῶσις καὶ πόσις ἐξ ἀληθείας, φαγεῖν ἔτι καὶ
of-truth food and drink in truth to-eat still and
πιεῖν διὰ δυνάμεως καὶ ἐνεργείας. Ὥσπερ ἐὰν ᾖ πηγή,
to-drink through power and working as if there-be (a)-spring
καὶ ὤν τις ἐκεῖ διψῶν ἄρχηται πίνειν· εἶτα ἐν τῷ μεταξὺ
and being someone there thirsting begin to-drink then in the meantime
ἀποσπάσῃ τις αὐτόν, καὶ μὴ δῷ ἐμπλησθῆναι ὅσον
drag-away someone him and not let(-him) to-be-filled as-much-as
θέλει, λοιπὸν μᾶλλον ἐκκαίεται γευσάμενος τοῦ ὕδατος, καὶ
he-wishes henceforth more he-is-inflamed having-tasted the water and
ἐπιζητεῖ σπουδαιότερον· οὕτως καὶ τὸ πνευματικὸν γεύεταί
seeks-after more-eagerly thus also the spiritual tastes
τις καὶ μεταλαμβάνει τροφῆς ἐπουρανίου, εἶτα ἐν τῷ
someone and partakes of-food heavenly then in the
μεταξὺ ὑποστέλλει, καὶ οὐδεὶς αὐτῷ δίδωσιν ἐμπλησθῆναι.
meantime it-withdraws and no-one him gives to-be-filled
Ἐρώτησις. Διὰ τί οὐ δίδωσιν ἐμπλησθῆναι; 8
question for what not does-he-give to-be-filled

Ἀπόκρισις. Ἐπίσταται ὁ Κύριος τὴν ἀσθένειαν τοῦ
answer knows the Lord the weakness of-the
ἀνθρώπου, ὅτι ταχέως ὑπεραίρεται, διὰ τοῦτο
man that quickly he-is-exalted because-of this
ὑποστέλλει, καὶ παραχωρεῖ γυμνασθῆναι καὶ βληθῆναι
he-withdraws and permits to-be-trained and to-be-struck
τὸν ἄνθρωπον. Εἰ γὰρ μικρὸν λαμβάνεις, καὶ οὐδείς σε
the man if for little you-receive and no-one you
βαστάζει, ἀλλὰ τυφοῦσαι, πόσῳ μᾶλλον εἰ ὑφ' ἓν σοί
bears but you-are-puffed-up how-much more if at once to-you
τις ἐδίδου ἐμπλησθῆναι, οὐκ ἄν σε ἔφερεν; Ἀλλ'
someone gave to-be-filled not — you would-he-have-borne but
εἰδὼς ὁ Θεὸς τὴν ἀσθένειαν, οἰκονομεῖ σε εἰς θλίψεις, ἵνα
knowing — God the weakness he-manages you into afflictions that
ταπεινὸς γένῃ, καὶ σπουδαιότερος τοῦ ἐπιζητεῖν τὸν
humble you-may-become and more-eager of-the to-seek-after —
Θεόν. Καὶ γὰρ κατὰ κόσμον πτωχός τις εὑρὼν
God and for according-to (the)-world (a)-poor(-man) someone having-found
βαλάντιον χρυσοῦν, ἀπὸ ἐλαφρίας ἤρξατο κηρύσσειν,
(a)-purse of-gold from levity began to-proclaim
Εὗρον, εὗρον βαλάντιον, πλούσιός εἰμι. Τότε ἐκ τῆς φήμης
I-found I-found (a)-purse rich I-am then from the rumor
ἤκουσεν ὁ ἀπολέσας, καὶ ἔλαβεν αὐτό. Ἄλλος πλούσιος
heard the(-one) having-lost(-it) and took it another rich(-man)
ἀπενοήθη, καὶ ἀπελάκτισε, καὶ ἤρξατο πάντας ὑβρίζειν, καὶ
lost-his-sense and kicked-out and began all to-insult and
ὑπεραίρεσθαί τινων, ὅθεν ἀκούσας ὁ βασιλεὺς ἐδήμευσεν
to-exalt-himself-over some whence having-heard the king confiscated
αὐτοῦ τὰ ὑπάρχοντα· οὕτως καὶ εἰς τὸ πνευματικόν·
his the possessions thus also in the spiritual
μικρᾶς ἀναπαύσεως ἐὰν γεύσωνταί τινες, οὐκ οἴδασι
(a)-little rest if taste some not they-know

διοικῆσαι, ἀλλ᾽ ἀπολοῦσι καὶ αὐτό, ὃ ἔλαβον. Πειράζει
to-manage(-it) but they-will-lose even it which they-received tempts
γὰρ αὐτοὺς ἡ ἁμαρτία, καὶ σκοτίζει αὐτῶν τὸν νοῦν.
for them the sin and darkens their the mind
Ἐρώτησις. Μετὰ τὸ ἐπίσκεψιν τῆς χάριτος γενέσθαι, πῶς 9
question after the visitation of-the grace to-take-place how
πίπτουσί τινες; Οὐχὶ ὁ Σατανᾶς ἀσθενέστερος ἀποδείκνυται
fall some not — Satan weaker is-shown
πολύ; Ὅπου γὰρ ἡμέρα, πῶς δύναται νὺξ εἶναι;
much where for (is)-day how can night to-be
Ἀπόκρισις. Οὐχ ὅτι ἡ χάρις σβέννυται, ἢ ἀσθενεῖ, ἀλλ᾽
answer not that the grace is-quenched or is-weak but
ἵνα τὸ αὐτεξούσιόν σου, καὶ ἡ ἐλευθερία δοκιμασθῇ, ποῦ
that the self-determination your and the freedom be-tested where
ῥέπει, παραχωρεῖ τῇ κακίᾳ· καὶ πάλιν σὺ τῷ θελήματι
it-inclines it-gives-way to-the vice and again you with-the will
προσεγγίζων τῷ Κυρίῳ προτρέπῃ τοῦ ἐπισκέψασθαί σε
drawing-near to-the Lord urge(-it) of-the to-visit you
τὴν χάριν. Ἐπεὶ πῶς γέγραπται, Τὸ Πνεῦμα μὴ σβέννυτε,
the grace since how is-it-written the Spirit not quench
εἰ ἐκεῖνο ἄσβεστόν ἐστι, καὶ φωτεινόν; Ἀλλὰ σὺ τῷ σῷ
if that unquenchable is and luminous but you with-the your
θελήματι ἀμελῶν, καὶ μὴ συμφωνῶν κατασβέννυσαι ἐκ
will neglecting and not agreeing are-quenched from
τοῦ Πνεύματος. Ὁμοίως λέγει, Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ
the Spirit likewise he-says not grieve the Spirit the
ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.
holy in whom you-were-sealed for (the)-day of-redemption
Ὁρᾷς ὅτι ἐν τῷ θελήματί σου κεῖται, καὶ ἐν τῇ
you-see that in the will your it-lies and in the
αὐτεξουσιότητί σου, τὸ τιμῆσαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ
self-determination your the to-honor the Spirit the holy and

μὴ λυπῆσαι. Ἐγὼ δέ σοι λέγω, ὅτι καὶ τοῖς τελείοις
not to-grieve(-it) I but to-you say that also to-the perfect
Χριστιανοῖς τοῖς ἠχμαλωτισμένοις, καὶ μεμεθυσμένοις
Christians the(-ones) taken-captive and made-drunk
εἰς τὸ ἀγαθόν, σύνεστι τὸ αὐτεξούσιον, ὅθεν μυρίοις
to the good is-present the self-determination whence by-ten-thousand
κακοῖς ἐξετασθέντες τρέπονται ἐπὶ τὸ ἀγαθόν.
evils having-been-examined they-turn to the good
10 Ὥσπερ ὅταν ὦσί τινες ἀξιωματικοί, καὶ πλούσιοι,
as when there-are some dignitaries and rich
καὶ εὐγενεῖς, καὶ οὗτοι ἰδίῳ θελήματι καὶ προαιρέσει
and noble and these by-own will and choice
καταλίπωσι τὸν πλοῦτον, καὶ τὴν εὐγένειαν αὐτῶν, καὶ
leave the wealth and the nobility their and
τὰ ἀξιώματα, καὶ ἀπέλθωσι καὶ ἐνδύσωνται ῥυπαρὰ καὶ
the dignities and go-away and put-on filthy and
πενιχρὰ ἐνδύματα, καὶ ἀτιμίαν ἀντὶ δόξης, καὶ ὦσι
poor garments and dishonor instead-of glory and are
ταλαιπωροῦντες, καὶ ἐξουδενούμενοι, τοῦτο καταλέλειπται
suffering-hardship and despised this has-been-left
τῷ ἰδίῳ αὐτῶν θελήματι. Ἐγὼ δέ σοι λέγω, ὅτι καὶ
to-the own their will I but to-you say that even
τοὺς ἀποστόλους τοὺς τετελειωμένους ἐν τῇ χάριτι, οὐ
the apostles the(-ones) perfected in the grace not
κεκώλυκεν ἡ χάρις, ἃ ἐβούλοντο πρᾶξαι, εἴγε
has-hindered the grace (from)-what they-wished to-do if-indeed
ἤθελον αὐτοὶ ἐκεῖνοι, μὴ ἀρέσκοντά τινα τῇ χάριτι
wished they those(-men) not pleasing anything to-the grace
διαπράττεσθαι. Καὶ γὰρ ἡ φύσις ἡμῶν δεκτικὴ καλοῦ
to-accomplish and for the nature our receptive of-good
καὶ κακοῦ ἐστι· καὶ ἡ ἐναντία δύναμις προτρεπτική, οὐκ
and evil is and the opposing power persuasive not

ἀναγκαστική. Λοιπὸν σὺ ἔχεις τὸ αὐτεξούσιον ῥέψαι, ὅπου
compelling henceforth you have the self-determination to-incline where
βούλει. Οὐχ ὁρᾷς, ὅτι Πέτρος κατεγνωσμένος ἦν, καὶ
you-wish not you-see that Peter condemned was and
ἀπελθὼν Παῦλος ἤλεγξεν αὐτόν, καὶ ὁ τοιοῦτος ἀκμὴν
having-gone Paul reproved him and the such(-man) still
κατεγνωσμένος ἦν; καὶ ὁ Παῦλος πνευματικὸς ὤν, ἐκ τοῦ
condemned was and — Paul spiritual being from the
ἰδίου θελήματος διάλεκτον ἐποιήσατο μετὰ Βαρνάβα, καί,
own will (a)-dispute made with Barnabas and
Παροξυνθέντες ἀνεχώρησαν ἀπ' ἀλλήλων. Καὶ πάλιν ὁ
having-been-provoked they-withdrew from one-another and again the
αὐτὸς λέγει, Ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον,
same says you the spiritual(-ones) restore the such(-man)
σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἰδοὺ οἱ πνευματικοὶ
considering yourself lest also you be-tempted behold the spiritual(-ones)
πειράζονται, διὰ τὸ παραμένειν ἔτι τὸ αὐτεξούσιον· καὶ
are-tempted because-of the to-remain still the self-determination and
οἱ ἐχθροὶ ἐπίκεινται, ἕως ὅτου εἰσὶν ἐν τῷ αἰῶνι τούτῳ.
the enemies press-upon(-them) until when they-are in the age this
Ἐρώτησις. Οὐκ ἠδύναντο ἁμαρτάνειν οἱ ἀπόστολοι, εἰ 11
question not could-they to-sin the apostles if
ἤθελον, ἢ καὶ αὐτοῦ τοῦ θελήματος ἰσχυροτέρα ἦν ἡ
they-wished or even than-the-very the will stronger was the
χάρις;
grace
Ἀπόκρισις. Ἁμαρτάνειν μὲν οὐκ ἠδύναντο· οὐδὲ γὰρ
answer to-sin indeed not they-could not-even for
ᾑροῦντο ἐν φωτὶ ὄντες καὶ ἐν χάριτι τοιαύτῃ. Πλὴν οὐ
did-they-choose(-it) in light being and in grace such but not
λέγομεν ὅτι ἡ χάρις ἐν αὐτοῖς ἠσθένει, ἀλλὰ λέγομεν, ὅτι
we-say that the grace in them was-weak but we-say that

παραχωρεῖ ἡ χάρις καὶ τοῖς τελείοις πνευματικοῖς ἔχειν
permits the grace even to-the perfect spiritual(-ones) to-have
τὰ θελήματα, καὶ τὴν ἐξουσίαν τοῦ ποιεῖν ἃ θέλουσι,
the wills and the authority of-the to-do what they-wish
καὶ τρέπεσθαι ὅπου βούλονται. Καὶ αὐτὴ δὲ ἡ φύσις
and to-turn where they-wish and the-very too the nature
ἡ ἀνθρωπίνη ἀσθενὴς οὖσα ἔχει ἐξουσίαν, καὶ συνόντος
the human weak being has authority even present
τοῦ ἀγαθοῦ τρέπεσθαι. Ὥσπερ ἐὰν ὦσί τινες ἐνδεδυμένοι
the good to-turn as if there-be some clothed-in
πανοπλίαν, θώρακα, καὶ ὅπλα, τὸ λοιπὸν ἔσωθέν εἰσιν
full-armor breastplate and weapons the henceforth within they-are
ἠσφαλισμένοι, καὶ ἐχθροὶ οὐκ ἐπέρχονται αὐτοῖς· ἢ
secured and enemies not come-upon them or
ἐπέρχονται μέν, λοιπὸν δὲ ἐν τῷ θελήματι αὐτῶν ἐστιν,
come-upon(-them) indeed henceforth but in the will their it-is
ἢ χρήσασθαι τοῖς ὅπλοις, καὶ ἀνταγωνίσασθαι, καὶ
either to-use the weapons and to-contend-against and
ἀντιπαλαῖσαι τοῖς ἐχθροῖς, καὶ τὰ νικητήρια ἀπενέγκασθαι,
to-wrestle-against the enemies and the prizes-of-victory to-carry-off
ἢ συνηδυνθῆναι καὶ εἰρηνεῦσαι μετὰ τῶν ἐχθρῶν, καὶ μὴ
or to-take-pleasure-with and to-make-peace with the enemies and not
πολεμῆσαι, καίτοι ἔχοντες ὅπλα· οὕτω καὶ οἱ Χριστιανοὶ
to-make-war although having weapons thus also the Christians
ἐνδεδυμένοι τὴν τελείαν δύναμιν, καὶ ἔχοντες τὰ ὅπλα
clothed-in the perfect power and having the weapons
τὰ ἐπουράνια, εἰ θέλουσι, συνήδονται τῷ Σατανᾷ, καὶ
the heavenly if they-wish take-pleasure-with — Satan and
εἰρηνεύουσι μετ᾽ αὐτοῦ, καὶ οὐ πολεμοῦσι. Τρεπτὴ γάρ ἐστιν
make-peace with him and not make-war changeable for is

ἡ φύσις, καὶ εἰ θέλει τις, γίνεται υἱὸς τοῦ Θεοῦ, εἴτε
the nature and if wishes someone he-becomes (a)-son — of-God or
πάλιν υἱὸς ἀπωλείας, διὰ τὸ παραμένειν τὸ αὐτεξούσιον.
again (a)-son of-perdition because-of the to-remain the self-determination
Ἄλλο ἐστὶ τὸ περὶ ἄρτου διηγήσασθαι καὶ 12
another(-thing) is the(-thing) about bread to-relate and
τραπέζης, καὶ ἄλλο ἐστὶ φαγεῖν καὶ λαβεῖν τὸν
table and another(-thing) is to-eat and to-take the
νόστον τοῦ ἄρτου, καὶ ἐνδυναμωθῆναι ὅλα τὰ μέλη.
savor of-the bread and to-be-strengthened (in)-all the limbs
Ἄλλο ἐστὶν εἰπεῖν περὶ ποτοῦ ἡδυτάτου λόγοις,
another(-thing) is to-speak about drink most-sweet in-words
καὶ ἄλλο ἐστὶν ἀπελθεῖν καὶ δράξασθαι ἐξ αὐτῆς
and another(-thing) is to-go and to-draw from the-very
τῆς πηγῆς, καὶ ἐμπλησθῆναι αὐτῆς τῆς γεύσεως τοῦ
the spring and to-be-filled with-the-very the taste of-the
ἡδυτάτου ποτοῦ. Ἄλλο ἐστὶ διηγήσασθαι περὶ πολέμου,
most-sweet drink another(-thing) is to-relate about war
καὶ γενναίων ἀθλητῶν, καὶ πολεμιστῶν, καὶ ἄλλο ἐστὶ
and noble athletes and warriors and another(-thing) is
τὸ ἀπελθεῖν τινα εἰς παράταξιν πολέμου, καὶ συμβαλεῖν
the to-go someone into (the)-battle-line of-war and to-engage
τοῖς ἐχθροῖς, καὶ εἰσελθεῖν καὶ ἐξελθεῖν, καὶ λαβεῖν, καὶ
the enemies and to-go-in and to-go-out and to-take and
δοῦναι, καὶ ἀπενέγκασθαι τὰ νικητήρια. Οὕτω κἀν τοῖς
to-give and to-carry-off the prizes-of-victory thus also-in the
πνευματικοῖς. Ἄλλο ἐστὶ τὸ γνώσει τινὶ καὶ νοΐ
spiritual(-things) another(-thing) is the with-knowledge some and mind
διηγῆσαι λόγους, καὶ ἄλλο ἐστὶ τὸ ἐν ὑποστάσει καὶ
to-relate words and another(-thing) is the in substance and
ἔργῳ, καὶ ἐν πληροφορίᾳ, καὶ ἐν τῷ ἔνδον ἀνθρώπῳ, καὶ
deed and in full-assurance and in the inner man and

τῷ νῷ ἔχειν τὸν θησαυρόν, καὶ τὴν χάριν, καὶ τὴν γεῦσιν,
in-the mind to-have the treasure and the grace and the taste
καὶ τὴν ἐνέργειαν τοῦ ἁγίου Πνεύματος. Οἱ γὰρ ψιλοὺς
and the working of-the holy Spirit the(-ones) for bare
λόγους λέγοντες, φαντάζονται, καὶ φυσιοῦνται ὑπὸ τοῦ νοὸς
words saying imagine and are-puffed-up by the mind
αὐτῶν. Ὁ γὰρ λόγος, φησίν, ἡμῶν καὶ τὸ κήρυγμα οὐκ
their the for word he-says our and the preaching (was)-not
ἐν πειθανοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει
in persuasive of-human wisdom words but in demonstration
Πνεύματος καὶ δυνάμεως· καὶ πάλιν ἀλλαχοῦ λέγει, Τὸ δὲ
of-Spirit and of-power and again elsewhere he-says the but
τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καρδίας καθαρᾶς,
end of-the commandment is love from (a)-heart pure
καὶ συνειδήσεως ἀγαθῆς, καὶ πίστεως ἀνυποκρίτου. Ὁ
and of-conscience good and of-faith unfeigned the
τοιοῦτος οὐ πίπτει. Πολλοῖς γὰρ ἐκζητήσασι τὸν Θεὸν
such(-man) not falls to-many for having-sought-out — God
ἠνοίγη θύρα, καὶ εἶδον θησαυρόν, καὶ εἰσῆλθον εἰς αὐτόν.
was-opened (a)-door and they-saw (a)-treasure and entered into it
Καὶ ὡς ἦσαν ἐν χαρᾷ λέγοντες, Εὕρομεν θησαυρόν,
and as they-were in joy saying we-have-found (a)-treasure
ἀπέκλεισεν αὐτοῖς τὰς θύρας, ἤρξαντο βοᾷν καὶ πενθεῖν, καὶ
he-shut on-them the doors they-began to-cry and to-mourn and
ἐπιζητεῖν, Θησαυρὸν εὕρομεν καὶ ἀπωλέσαμεν. Οἰκονομικῶς
to-seek (a)-treasure we-found and lost by-dispensation
γὰρ ὑποστέλλει ἡ χάρις, ἵνα μειζόνως ἐπιζητήσωμεν· ὁ
for withdraws the grace that more-greatly we-may-seek-after the
γὰρ θησαυρὸς δείκνυται πρὸς τρόπον τῆς ζητήσεως.
for treasure is-shown according-to (the)-manner of-the seeking

Ἐρώτησις. Ἐπειδή τινες λέγουσιν, ὅτι μετὰ τὴν χάριν 13
question since some say that after the grace
μετέβη τις ἀπὸ τοῦ θανάτου εἰς τὴν ζωήν, εἰ
has-passed someone from the death into the life whether
δύναταί τις ἐν φωτὶ ὢν ἔχειν ῥυπαροὺς λογισμούς;
can someone in light being to-have filthy thoughts
Ἀπόκρισις. Γέγραπται, ὅτι Πνεύματι ἐναρξάμενοι ἐν
answer it-is-written that in-(the)-Spirit having-begun in
σαρκὶ νῦν ἐπιτελεῖσθε. Λέγει δὲ πάλιν· Ἐνδύσασθε
flesh now you-are-being-perfected he-says and again put-on
τὴν πανοπλίαν τοῦ Πνεύματος, πρὸς τὸ δύνασθαι ὑμᾶς
the full-armor of-the Spirit for the to-be-able you
ἀντιστῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. Πρὸς λόγον
to-stand-against against the schemes of-the devil in (a)-word
εἰσὶ δύο τόποι, ποῦ ὢν ἐνεδύσατο τὰ ὅπλα, καὶ ποῦ
there-are two places where being did-be-put-on the weapons and where
ὢν πολεμεῖ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐν
being does-be-make-war against the principalities and the powers in
φωτὶ ὤν, ἢ ἐν σκότει. Καί, Πρὸς τὸ δύνασθαι ὑμᾶς
light being or in darkness and for the to-be-able you
πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ
all the darts of-the evil(-one) the fiery to-quench and
πάλιν, Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ· καὶ
again not grieve the Spirit the holy — of-God and
πάλιν, Ἀδύνατον τοὺς ἅπαξ φωτισθέντας γευσαμένους
again (it-is)-impossible the(-ones) once illumined having-tasted
τε τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ μετόχους γενομένους
and of-the gift — of-God and partakers having-become
Πνεύματος ἁγίου, καὶ παραπεσόντας ἀνακαινίζειν. Ἰδοὺ
of-Spirit holy and having-fallen-away to-renew behold
οἱ φωτισθέντες καὶ γευσάμενοι παραῤῥίπτουσιν. Ὁρᾷς, ὅτι
the illumined and having-tasted cast(-it)-aside you-see that

ἔχει θέλημα τοῦ συμφωνῆσαι τῷ Πνεύματι, καὶ ἔχει
he-has (a)-will of-the to-agree with-the Spirit and has
θέλημα τοῦ λυπῆσαι. Πάντως γὰρ ἀναλαμβάνει ὅπλα τοῦ
(a)-will of-the to-grieve(-it) by-all-means for he-takes-up weapons of-the
ἀπελθεῖν εἰς πόλεμον, καὶ ἀγωνίσασθαι κατὰ τῶν ἐχθρῶν·
to-go to war and to-strive against the enemies
πάντως ἐφωτίσθη, ἵνα στρατεύσηται κατὰ τοῦ σκότους.
by-all-means he-was-illumined that he-may-make-war against the darkness

14 Ἐρώτησις. Πῶς λέγει ὁ Ἀπόστολος· «Ἐὰν ἔχω πᾶσαν
question how says the Apostle if I-have all
τὴν γνῶσιν, καὶ πᾶσαν προφητείαν, καὶ λαλῶ ταῖς
the knowledge and all prophecy and speak with-the
γλώσσαις τῶν ἀγγέλων, οὐδέν εἰμι.»
tongues of-the angels nothing I-am
Ἀπόκρισις. Οὐχ οὕτως ὀφείλομεν νοεῖν, ὅτι οὐδέν ἐστιν
answer not thus we-ought to-understand that nothing is
ὁ Ἀπόστολος, ἀλλὰ πρὸς ἐκείνην τὴν ἀγάπην, ἥτις
the Apostle but compared-with that the love which
ἐστὶ τελεία, ταῦτα μικρά ἐστι, καὶ ὁ ἐν τούτοις ὢν
is perfect these small are and the(-one) in these being
τοῖς μέτροις, πίπτει· ὁ δὲ ἔχων τὴν ἀγάπην, ἄπτωτός
the measures falls the(-one) but having the love unfalling
ἐστιν. Ἐγὼ δέ σοι λέγω, ὡς εἶδον ἀνθρώπους εἰς ὅλα
is I but to-you say that I-saw men to all
τὰ χαρίσματα γενομένους καὶ μετόχους Πνεύματος· καὶ
the gifts having-come and partakers of-Spirit and
οὗτοι μὴ φθάσαντες εἰς τὴν τελείαν ἀγάπην, ἔπεσον. Εἷς
these not having-attained to the perfect love fell one
γάρ τις τῶν εὐγενῶν ἀποταξάμενος ἐπώλησεν αὐτοῦ
for certain of-the nobles having-renounced sold his
τὰ ὑπάρχοντα, ἠλευθέρωσε δούλους, ὢν φρόνιμος καὶ
the possessions freed slaves being prudent and

συνετός, λοιπὸν περιβόητος ἦν ἐπὶ σεμνῷ βίῳ· καὶ ἐν
intelligent henceforth renowned he-was for (a)-holy life and in
τῷ μεταξὺ οἰηθεὶς περὶ ἑαυτοῦ, καὶ τυφωθείς,
the meantime having-thought-highly about himself and having-been-puffed-up
τέλος κατέπεσεν εἰς ἀσελγείας, καὶ μυρία κακά.
at-last he-fell into licentiousness and ten-thousand evils
Ἄλλος ἐπὶ διωγμοῦ ἔδωκεν ἑαυτοῦ τὸ σῶμα, καὶ ὢν 15
another in (a)-persecution gave his-own the body and being
ὁμολογητής, μετὰ ταῦτα εἰρήνης γενομένης ἀπελύθη, καὶ
(a)-confessor after these(-things) peace having-come was-released and
ἦν ὀνομαστός. Τὰ γὰρ βλέφαρα αὐτοῦ ἦν βλαβέντα, ἐπειδὴ
was famous the for eyelids his were injured since
ὑπεκαπνίσθη. Οὗτος λοιπὸν δοξαζόμενος, καὶ καλούμενος
he-was-smoked this(-man) henceforth being-glorified and being-called
εἰς τὰς εὐχάς, λαμβάνων σιτίον, ἐδίδου τῷ παιδὶ αὐτοῦ· καὶ
to the prayers receiving food gave(-it) to-the servant his and
οὕτως ἦν ὁ νοῦς αὐτοῦ, ὡς μηδέποτε ἀκούσας λόγον Θεοῦ.
so was the mind his as never having-heard (the)-word of-God
Ἄλλος ἔδωκε τὸ σῶμα αὐτοῦ ἐπὶ διωγμοῦ, καὶ ἐκρεμάσθη,
another gave the body his in (a)-persecution and was-hung-up
καὶ ἐξέστη, εἶτα ἐβλήθη εἰς τὴν φυλακήν. Ὑπηρέτει οὖν
and lost-his-senses then was-thrown into the prison served then
αὐτῷ κατὰ πίστιν κανονική τις, καὶ ποιήσας συνήθειαν
him in faith consecrated-virgin some and having-made familiarity
μετ᾽ αὐτῆς, ὢν ἐν τῇ φυλακῇ, ἐξέπεσεν εἰς πορνείαν. Ἴδε
with her being in the prison he-fell into fornication see
ὁ πλούσιος ὁ πωλήσας τὰ ὑπάρχοντα αὐτοῦ, καὶ
the rich(-man) the(-one) having-sold the possessions his and
ὁ δοὺς τὸ σῶμα αὐτοῦ εἰς μαρτύριον, πῶς ἔπεσεν.
the(-one) having-given the body his to martyrdom how they-fell

16 Ἄλλος δέ τις φρόνιμος ἀσκητὴς συνών μοι ἐν τῇ
another but certain prudent ascetic living-with me in the
οἰκίᾳ, καὶ μετ᾽ ἐμοῦ εὐχόμενος, οὕτως ἦν πλούσιος ἐν τῇ
house and with me praying so was rich in the
χάριτι, ὡς εὐχόμενος ἐγγύς μου κατανύττεσθαι.
grace that praying near me to-be-pierced-with-compunction(-was-I)
Ἔβρασσε γὰρ ἐν αὐτῷ ἡ χάρις· ἐδόθη δὲ αὐτῷ καὶ
bubbled for in him the grace was-given and to-him also
τὸ χάρισμα τῶν ἰαμάτων, καὶ οὐ μόνον τοὺς δαίμονας
the gift of-the healings and not only the demons
ἀπήλαυνεν, ἀλλὰ καὶ τοὺς δεδεμένους χεῖρας καὶ πόδας,
did-he-drive-away but also the(-ones) bound (at)-hands and feet
καὶ ἔχοντας πάθη δεινά, διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν
and having sufferings terrible through the laying-on of-the hands
ἐθεράπευσεν. Εἶτα ἀμελήσας καὶ δοξαζόμενος ὑπὸ τοῦ
he-healed then having-been-negligent and being-glorified by the
κόσμου, καὶ συνηδόμενος αὐτῷ, ἐτυφώθη, καὶ ἐξέπεσεν
world and taking-pleasure in-it he-was-puffed-up and fell
εἰς αὐτὰ τὰ βαθύτατα τῆς ἁμαρτίας. Ἴδε καὶ ὁ ἔχων
into the-very the deepest(-parts) of-the sin see even the(-one) having
χάρισμα ἰαμάτων ἔπεσεν. Ὁρᾷς, πῶς πρὸ τοῦ ἔρχεσθαι
(the)-gift of-healings fell you-see how before the to-come
εἰς ἀγάπης μέτρα πίπτουσιν. Ὅς γὰρ φθάσας εἰς τὴν
to of-love measures they-fall who for having-attained to the
ἀγάπην, δέδεται καὶ μεμέθυσται, οὗτος καταπεπόντισται,
love is-bound and made-drunk this(-man) is-swallowed-up
καὶ αἰχμάλωτός ἐστιν εἰς ἄλλον κόσμον, ὡς τῆς ἰδίας
and captive is to another world as of-the own
φύσεως οὐκ αἰσθανόμενος.
nature not perceiving

Ἐρώτησις. Τί ἐστιν· «Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς 17
question what is what eye not saw and ear
οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη;»
not heard and into (the)-heart of-man not went-up
Ἀπόκρισις. Κατ' ἐκεῖνον τὸν καιρὸν οἱ μεγάλοι, καὶ δίκαιοι,
answer at that the time the great and righteous
καὶ βασιλεῖς, καὶ προφῆται, ὅτι μὲν ἔρχεται ὁ Λυτρωτής,
and kings and prophets that indeed comes — Redeemer
ᾔδεισαν· ὅτι δὲ πάσχει, καὶ σταυροῦται, καὶ αἷμα ἐκχεῖται
knew that but he-suffers and is-crucified and blood is-poured-out
ἐπὶ τοῦ σταυροῦ, οὔτε ᾔδεισαν, οὔτε ἤκουσαν, οὔτε ἀνέβη
on the cross neither did-they-know nor did-they-hear nor went-up
αὐτῶν ἐπὶ τὴν καρδίαν, ὅτι ἔσται βάπτισμα πυρὸς καὶ
having-become wherefore throws — God the wood of-the life into
αὐτὴν τὴν πικρὰν πηγὴν τῆς καρδίας, καὶ γλυκαίνεται ἐκ
the-very the bitter spring of-the heart and it-is-sweetened from
τῆς πικρότητος μεταβαλλομένη, καὶ συγκιρνωμένη τῷ
the bitterness being-changed and being-mingled with-the

Πνεύματι τοῦ Χριστοῦ· καὶ οὕτως εὔχρηστος γενομένη,
Spirit — of-Christ and thus useful having-become
εἰς διακονίαν τοῦ Δεσπότου αὐτῆς προχωρεῖ· γίνεται
for (the)-service of-the Master her advances she-becomes
γὰρ πνεῦμα σαρκοφόρον. Δόξα τῷ μεταβάλλοντι τὴν
for (a)-spirit flesh-bearing glory to-the(-one) changing the
πικρότητα ἡμῶν εἰς τὴν ἡδύτητα καὶ χρηστότητα τοῦ
bitterness our into the sweetness and kindness of-the
Πνεύματος. Οὐαὶ ἐκείνῳ, ἐν ᾧ οὐκ ἐβλήθη τὸ ξύλον
Spirit woe to-that(-one) in whom not was-thrown the wood
τῆς ζωῆς· οὐ δύναται μεταβολήν τινα κτήσασθαι ἀγαθήν.
of-the life not he-can change any to-acquire good
16 Ἡ ῥάβδος Μωϋσέως δύο ἔφερεν εἰκόνας. Τοῖς μὲν γὰρ
the rod of-Moses two bore images to-the indeed for
ἐχθροῖς ὡς ὄφις ἀπήντα, δάκνων καὶ ἀναιρῶν· τοῖς
enemies as (a)-serpent it-met(-them) biting and slaying to-the
Ἰσραηλίταις δὲ βακτηρία, ἐφ' ἣν ἐπεστηρίζοντο. Οὕτω καὶ
Israelites but (a)-staff on which they-leaned thus also
τὸ ἀληθινὸν ξύλον τοῦ σταυροῦ, ὅ ἐστι Χριστός, τῶν
the true wood of-the cross which is Christ of-the
μὲν ἐχθρῶν ἐστι θάνατος, τῶν πνευμάτων τῆς πονηρίας·
indeed enemies is death of-the spirits of-the wickedness
τῶν δὲ ψυχῶν ἡμῶν βακτηρία καὶ ἔδρασμα ἀσφαλὲς
of-the but souls our (a)-staff and foundation secure
καὶ ζωή, ἐφ' ἣν ἐπαναπαύονται. Τύποι γὰρ καὶ σκιαὶ
and life on which they-rest types for and shadows
τὸ πρὶν ἐγίγνοντο τῶν ἀληθινῶν τούτων πραγμάτων·
the formerly came-about of-the true these matters
σκιὰ γάρ ἐστι, καὶ εἰκὼν ἡ παλαιὰ λατρεία τῆς
(a)-shadow for is and image the old worship of-the
νῦν λατρείας. Καὶ ἡ περιτομή, καὶ ἡ σκηνή, καὶ ἡ
present worship and the circumcision and the tent and the

κιβωτός, καὶ ἡ στάμνος, καὶ τὸ μάννα, καὶ ἱερατεία, καὶ
ark and the jar and the manna and priesthood and
τὸ θυμίαμα, καὶ τὰ βαπτίσματα, καὶ ἁπαξαπλῶς πάντα
the incense and the washings and in-a-word all
ὅσα γέγονεν ἐν τῷ Ἰσραήλ, καὶ ἐν τῷ νόμῳ Μωσέως,
whatever came-about in — Israel and in the law of-Moses
ἢ ἐν τοῖς προφήταις, διὰ τὴν ψυχὴν ταύτην γέγονε,
or in the prophets for-the-sake-of the soul this came-about
τὴν κατ᾽ εἰκόνα Θεοῦ γεγενημένην, καὶ πεσοῦσαν ὑπὸ
the(-soul) after (the)-image of-God made and having-fallen under
ζυγὸν δουλείας, καὶ ὑπὸ βασιλείαν σκότους πικρίας.
(the)-yoke of-slavery and under (the)-kingdom of-darkness of-bitterness
Ταύτῃ γὰρ ἠθέλησεν ὁ Θεὸς κοινωνῆσαι, καὶ ταύτην 17
with-this for wished — God to-have-communion and this(-soul)
ἡρμόσατο ἑαυτῷ εἰς νύμφην βασιλέως, καὶ ταύτην καθαρίζει
he-betrothed to-himself as bride of-(the)-king and her he-cleanses
ἀπὸ τοῦ ῥύπου καὶ ἐκπλύνων λαμπρύνει ἀπὸ τῆς μελανίας
from the filth and washing(-her) makes-bright from the blackness
καὶ τῆς αἰσχρότητος αὐτῆς, καὶ ζωοποιεῖ ἐκ τῆς νεκρώσεως,
and the shamefulness her and makes-alive from the deadness
καὶ ἰᾶται ἐκ τῆς συντρίψεως, καὶ εἰρηνεύει αὐτῆς τὴν
and heals from the crushing and pacifies her the
ἔχθραν καταλλάσσων. Κτίσμα γὰρ οὖσα εἰς νύμφην τῷ
enmity reconciling(-her) (a)-creature for being as bride to-the
υἱῷ τοῦ βασιλέως ἡρμόσθη, καὶ τῇ ἰδίᾳ αὐτοῦ δυνάμει
son of-the king she-was-betrothed and with-the own his power
ὁ Θεὸς παραδέχεται αὐτὴν κατὰ μικρὸν συμμεταβαλλόμενος
— God receives her by little changing-together
αὐτήν, ἕως αὐξήσῃ αὐτὴν τῇ ἰδίᾳ αὐξήσει. Τείνει γὰρ
her until he-increase her with-the own increase he-stretches for
αὐτὴν καὶ μηκύνει εἰς ἀπέραντον καὶ ἀμέτρητον αὔξησιν,
her and lengthens(-her) to boundless and measureless growth

ἕως ἂν ἄμωμος καὶ ἀξία αὐτοῦ νύμφη γένηται. Πρῶτον
until — blameless and worthy of-him bride she-become first
γὰρ γεννᾷ αὐτὴν ἐν ἑαυτῷ, καὶ αὐξάνει δι᾽ ἑαυτοῦ, ἕως
for he-begets her in himself and increases(-her) through himself until
ἀπολάβῃ τὸ τέλειον μέτρον τῆς ἀγάπης αὐτοῦ. Αὐτὸς γὰρ
she-receive the perfect measure of-the love his he for
ὢν τέλειος νυμφίος, λαμβάνει αὐτὴν τελείαν νύμφην εἰς τὴν
being (a)-perfect bridegroom takes her (as)-perfect bride into the
ἁγίαν καὶ μυστικήν, καὶ ἄχραντον κοινωνίαν τοῦ γάμου, καὶ
holy and mystical and undefiled communion of-the marriage and
τότε συμβασιλεύει αὐτῷ εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν.
then she-reigns-with him for the boundless ages amen

XLVIII · FAITH IN LITTLE THINGS

Whoever is faithful in little is faithful in much: the little is food, clothing, and bodily health, which the Lord promised to those who seek his kingdom. A monk who still worries about his body, or runs to earthly physicians, shows that he does not yet believe in the eternal goods either. Medicine was given in God's kindness to the weak and to those outside, but one who seeks to be born from the Spirit should trust Christ alone.

1 Ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ τοὺς ἑαυτοῦ μαθητὰς εἰς
the Lord in the Gospel the his-own disciples to
τελείαν πίστιν ἀγαγεῖν βουλόμενος, ἔλεγεν· Ὁ ἐν ὀλίγῳ
perfect faith to-lead wishing said the(-one) in little
ἄπιστος, καὶ ἐν πολλῷ ἄπιστός ἐστι· καὶ ὁ ἐν ὀλίγῳ
unfaithful also in much unfaithful is and the(-one) in little
πιστός, καὶ ἐν πολλῷ πιστός ἐστι. Τί ἐστι τὸ ὀλίγον,
faithful also in much faithful is what is the little
καὶ τί ἐστι τὸ πολύ; τὸ ὀλίγον τὰ ἐπαγγέλματά ἐστι
and what is the much the little the promises are

τοῦ αἰῶνος τούτου, ἅπερ ὑπέσχετο παρασχεῖν τοῖς
of-the age this which he-promised to-provide to-the(-ones)
πιστεύουσιν αὐτῷ, οἷον τροφάς, ἐνδύματα, καὶ τὴν
believing him such-as foods garments and the
λοιπὴν τοῦ σώματος ἀνάπαυσιν, ἢ ὑγίειαν, καὶ τοιαῦτα.
other of-the body rest or health and such(-things)
Προστάξας μὴ μεριμνᾷν ὅλως περὶ τούτων, ἀλλὰ τῇ εἰς
having-commanded not to-care at-all about these but with-the in
αὐτὸν πεποιθήσει ἐλπίζειν, ὅτι Κύριος προνοητὴς τῶν
him confidence to-hope that (the)-Lord provider of-the(-ones)
εἰς αὐτὸν καταφευγόντων κατὰ πάντα γίνεται. Τὸ δὲ πολὺ
in him taking-refuge in all(-things) becomes the but much
τὰ τοῦ αἰωνίου καὶ ἀφθάρτου αἰῶνος δωρήματά ἐστιν,
the(-things) of-the eternal and incorruptible age gifts are
ἅπερ ὑπέσχετο παρασχεῖν τοῖς πιστεύουσιν αὐτῷ, καὶ
which he-promised to-provide to-the(-ones) believing him and
ἀδιαλείπτως περὶ ἐκείνων μεριμνῶσι, καὶ αἰτοῦσιν αὐτόν,
unceasingly about those caring and asking him
ὅτι οὕτως ἐνετείλατο· Ὑμεῖς δέ, φησί, πρῶτον ζητεῖτε
because thus he-commanded you but he-says first seek
τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ
the kingdom — of-God and the righteousness his and
ταῦτα πάντα προστεθήσεται ὑμῖν· ὅπως ἐκ τῶν ὀλίγων
these all will-be-added to-you so-that from the little
τούτων καὶ προσκαίρων δοκιμασθῇ ἕκαστος, εἰ πιστεύει
these and temporary(-things) be-tested each whether he-believes
τῷ Θεῷ, ὅτι ἐπηγγείλατο παρασχεῖν, ἡμῶν ἀμερίμνων
— God that he-promised to-provide (for)-us without-care
περὶ τὰ τοιαῦτα ὄντων, καὶ μόνον περὶ τῶν μελλόντων
about the such(-things) being and only about the future
αἰωνίων τὴν φροντίδα ἐχόντων.
eternal(-things) the concern having

2 Καὶ τότε φανερόν ἐστιν, ὅτι πιστεύει περὶ τῶν
and then manifest it-is that he-believes about the
ἀφθάρτων, καὶ ὄντως ζητεῖ τὰ αἰώνια ἀγαθά, εἰ περὶ
incorruptible(-things) and truly seeks the eternal goods if about
τῶν εἰρημένων ὑγιῆ τὴν πίστιν ἀποσώζει. Ὀφείλει γὰρ
the(-things) said sound the faith he-preserves ought for
ἕκαστος τῶν ὑπακουόντων τῷ τῆς ἀληθείας λόγῳ,
each of-the(-ones) obeying to-the of-the truth word
δοκιμάζειν ἑαυτόν, καὶ ἀνακρίνειν, ἤτοι ὑπὸ πνευματικῶν
to-test himself and to-examine or by spiritual
ἀνδρῶν ἀνακρίνεσθαι καὶ δοκιμάζεσθαι, πῶς ἐπίστευσε, καὶ
men to-be-examined and to-be-tested how he-believed and
ἔδωκεν ἑαυτὸν τῷ Θεῷ· εἰ ὄντως ἐν ἀληθείᾳ κατὰ
gave himself — to-God whether truly in truth according-to
τὸν λόγον αὐτοῦ, ἢ οἰήσει δικαιώσεως καὶ πίστεως, ἐν
the word his or by-conceit of-justification and of-faith in
ἑαυτῷ πιστεύειν νομίζων· ἕκαστος γὰρ εἰ ἐν τῷ ὀλίγῳ
himself to-believe supposing each for whether in the little
πιστός ἐστι, περὶ τῶν προσκαίρων λέγω, δοκιμάζεται,
faithful he-is about the temporary(-things) I-mean is-tested
καὶ ἐλέγχεται. Τὸ δὲ πῶς, ἄκουε· Πιστεύειν λέγεις
and is-proved the and how hear to-believe you-say
βασιλείας οὐρανῶν καταξιοῦσθαι, καὶ υἱὸς Θεοῦ γεννηθεὶς
of-(the)-kingdom of-heavens to-be-deemed-worthy and (a)-son of-God born
ἄνωθεν γενέσθαι, καὶ συγκληρονόμος τοῦ Χριστοῦ, καὶ εἰς
from-above to-become and co-heir — of-Christ and for
αἰῶνας ὅλους συμβασιλεύειν αὐτῷ, καὶ τρυφᾷν ἐν φωτὶ
ages whole to-reign-with him and to-delight in light
ἀῤῥήτῳ, ἐν ἀπεράντοις καὶ ἀναριθμήτοις αἰῶσιν, ὡς ὁ
unutterable in boundless and innumerable ages as —

Θεός; Πάντως ἐρεῖς· Ναί. Διὰ ταύτην γὰρ τὴν αἰτίαν
God by-all-means you-will-say yes for this for the reason
ἀναχωρήσας τοῦ κόσμου, ἐμαυτὸν τῷ Κυρίῳ δέδωκα.
having-withdrawn from-the world myself to-the Lord I-have-given
Δοκίμασον τοίνυν σεαυτόν, μή ποτέ σε μέριμναι γήϊναι 3
test therefore yourself lest ever you cares earthly
κατέχουσιν ἔτι, καὶ φροντὶς πολλὴ περὶ τῆς τοῦ σώματος
hold still and concern much about the of-the body
τροφῆς καὶ ἐνδύσεως, καὶ τῆς λοιπῆς ἐπιμελείας καὶ
food and clothing and the other care and
ἀναπαύσεως, ὡς τῇ σῇ δυνάμει περιγιγνόμενος, καὶ
rest as by-the your power prevailing and
προνοούμενος ἑαυτοῦ, ὃ προσετάχθης μὴ μεριμνᾷν ὅλως
providing-for yourself which you-were-commanded not to-care at-all
περὶ σεαυτοῦ. Εἰ γὰρ πιστεύεις τὰ ἀθάνατα, καὶ αἰώνια,
about yourself if for you-believe the immortal and eternal(-things)
καὶ παράμονα καὶ ἄφθονα λήψεσθαι, πόσῳ μᾶλλον ταῦτα
and abiding and abundant to-receive how-much more these
τὰ παρερχόμενα καὶ γήϊνα, ἅπερ ὁ Θεὸς δέδωκε καὶ
the passing and earthly(-things) which — God has-given even
ἀσεβέσιν ἀνθρώποις, καὶ θηρίοις, καὶ πετεινοῖς, οὐ πιστεύεις
to-ungodly men and to-beasts and birds not you-believe
παρασχέσθαι σοι τὸν Κύριον, ὥσπερ καὶ ἐνετείλατο, μὴ
to-provide you the Lord as also he-commanded not
μεριμνᾷν ὅλως περὶ τούτων εἰπών, Μὴ μεριμνήσητε τί
to-care at-all about these having-said do-not care what
φάγητε, ἢ τί πίητε, ἢ τί περιβάλλησθε· ταῦτα γὰρ
you-shall-eat or what you-shall-drink or what you-shall-put-on these for
πάντα τὰ ἔθνη ἐπιζητεῖ; εἰ δὲ περὶ ταῦτα ἔτι μέριμναν
all the nations seek-after if but about these still care
ἔχεις, καὶ οὐκ ἐνεπίστευσας ὅλον σεαυτὸν τῷ λόγῳ αὐτοῦ,
you-have and not you-have-entrusted whole yourself to-the word his

γνῶθι, ὅτι τὰ αἰώνια ἀγαθά, ἅπερ ἐστὶν ἡ βασιλεία
know that the eternal goods which are the kingdom
τῶν οὐρανῶν, ἀκμὴν οὐκ ἐπίστευσας λαβεῖν, καὶ νομίζεις
of-the heavens still not you-have-believed to-receive and you-think
πιστεύειν, ἔτι ἐν τοῖς μικροῖς καὶ φθαρτοῖς ἄπιστος
to-believe still in the small and perishable(-things) unfaithful
εὑρισκόμενος· καὶ πάλιν, Ὥσπερ τὸ σῶμα τιμιώτερόν ἐστι
being-found and again as the body more-precious is
τοῦ ἐνδύματος, οὕτω καὶ ἡ ψυχὴ τιμιωτέρα ἐστὶ τοῦ
than-the garment thus also the soul more-precious is than-the
σώματος. Πιστεύεις τοίνυν, ὅτι ἡ ψυχή σου ὑπὸ Χριστοῦ
body do-you-believe therefore that the soul your by Christ
ἴασιν δέχεται, ἀπὸ τῶν αἰωνίων καὶ ἀθεραπεύτων παρὰ
healing receives from the eternal and incurable with
ἀνθρώποις τραυμάτων, τῶν παθῶν τῆς ἀτιμίας, δι' ἣν
men wounds of-the passions of-the dishonor for which
καὶ ἦλθεν ἐνταῦθα ὁ Κύριος ἵνα νῦν τὰς ψυχὰς τῶν
also came here the Lord that now the souls of-the
πιστῶν θεραπεύσῃ ἐκ τῶν ἀνιάτων παθῶν, καὶ καθαρίσῃ
faithful he-may-heal from the incurable passions and cleanse
ἐκ τοῦ ῥύπου τῆς λέπρας τῆς κακίας, ὁ μόνος ἀληθινὸς
from the filth of-the leprosy of-the vice the only true
ἰατρὸς καὶ θεραπευτής;
physician and healer

4 Ἐρεῖς, Πάντως πιστεύω. Εἰς τοῦτο γὰρ ἔστηκα, καὶ
you-will-say by-all-means I-believe for this for I-stand and
ταύτην ἔχω τὴν προσδοκίαν. Γνῶθι τοίνυν, ἐρευνήσας
this I-have the expectation know therefore having-searched
σεαυτόν, μή ποτέ σε τὰ σαρκικὰ πάθη πρὸς ἰατροὺς
yourself lest ever you the fleshly passions to physicians
γηΐνους ἀποφέρει, ὡς Χριστοῦ, ᾧ ἐπίστευσας, μὴ
earthly carry-off as Christ whom you-believed not

δυναμένου σε θεραπεῦσαι. Ἴδε πῶς σεαυτὸν ἀπατᾷς,
being-able you to-heal see how yourself you-deceive
ὅτι νομίζεις πιστεύειν, μηδέπω πιστεύων, ὡς δεῖ ἐξ
that you-think to-believe not-yet believing as (one)-must in
ἀληθείας. Εἰ γὰρ τὰ αἰώνια καὶ ἀθεράπευτα τῆς ἀθανάτου
truth if for the eternal and incurable of-the immortal
ψυχῆς τραύματα, καὶ πάθη κακίας ἐπίστευσας ὑπὸ Χριστοῦ
soul wounds and passions of-vice you-believed by Christ
θεραπευθῆναι, ἐπίστευες ἂν αὐτῷ δυνατῷ ὄντι θεραπεύειν,
to-be-healed you-would-believe — him able being to-heal
καὶ τὰ πρόσκαιρα τοῦ σώματος πάθη καὶ νοσήματα, καὶ
also the temporary of-the body passions and diseases and
πρὸς αὐτὸν ἂν μόνον κατέφευγες ὑπερορῶν ἰατρικῶν
to him — alone you-would-take-refuge disregarding medical
ἐπιτηδευμάτων, καὶ θεραπειῶν, Ὁ γὰρ τὴν ψυχὴν
practices and treatments the(-one) for the soul
κτίσας, αὐτὸς καὶ τὸ σῶμα πεποίηκε· καὶ ὁ ἐκείνην
having-created he also the body has-made and the(-one) that
τὴν ἀθάνατον ἰώμενος, αὐτὸς τὸ σῶμα δύναται ἀπὸ τῶν
the immortal healing he the body can from the
προσκαίρων παθῶν καὶ νοσημάτων θεραπεῦσαι.
temporary passions and diseases to-heal
Ἀλλὰ πάντως ἐρεῖς μοι ταῦτα· Τῷ σώματι ἔδωκεν 5
but by-all-means you-will-say to-me these(-things) to-the body gave
ὁ Θεὸς εἰς θεραπείαν, τάς τε βοτάνας τῆς γῆς, καὶ τὰ
— God for healing the both herbs of-the earth and the
φάρμακα, καὶ ἰατρῶν ἐπιτηδεύματα, πρὸς τὰ τοῦ σώματος
medicines and of-physicians practices for the of-the body
πάθη προευτρέπισε, τὸ ἀπὸ γῆς ὂν σῶμα θεραπεύεσθαι
passions he-prepared the from earth being body to-be-healed
οἰκονομήσας, ἐκ τῶν τῆς γῆς διαφόρων εἰδῶν. Σύμφημι
having-arranged from the of-the earth various kinds I-agree

καὰγὼ ταῦτα οὕτως ἔχειν· ἀλλὰ πρόσεχε, καὶ γνώσῃ
also-I these(-things) thus to-be but attend and you-will-know
τὸν τρόπον, τίσι ταῦτα δέδοται, καὶ τίσιν ᾠκονόμησεν
the manner to-whom these(-things) are-given and for-whom arranged
ὁ Θεός, κατὰ πολλὴν καὶ ἄπειρον φιλανθρωπίαν καὶ
— God according-to much and boundless love-for-mankind and
χρηστότητα. Ἐκπεσὼν ὁ ἄνθρωπος ἀπὸ τῆς ἐντολῆς ἣς
kindness having-fallen the man from the commandment which
εἰλήφει, καὶ ὑπὸ τὴν ἀπόφασιν ὀργῆς γεγονώς, καὶ ὥσπερ
he-had-received and under the sentence of-wrath having-come and as
εἰς αἰχμαλωσίαν καὶ ἀτιμίαν, ἢ μετάλλου τινὸς ἐργασίαν,
into captivity and dishonor or of-(a)-mine some work
ἐκ τῆς τρυφῆς τοῦ παραδείσου εἰς τὸν κόσμον τοῦτον
from the delight of-the paradise into the world this
ἐξορισθείς, καὶ ὑπὸ τὴν ἐξουσίαν τοῦ σκότους γεγονώς,
banished and under the authority of-the darkness having-come
καὶ ἄπιστος τῶν παθῶν καταστάς, ὑπὸ τὰ πάθη λοιπόν,
and unfaithful of-the passions having-become under the passions henceforth
καὶ τὰ νοσήματα τῆς σαρκὸς πέπτωκεν, ὁ πρὶν
and the diseases of-the flesh has-fallen the(-one) formerly
ἀπαθής, καὶ ἄνοσος. Δῆλον δὲ ὅτι καὶ πάντες οἱ
passionless and without-disease clear(-it-is) and that also all the(-ones)
ἐξ αὐτοῦ γεννηθέντες τοῖς αὐτοῖς πάθεσιν ὑποπεπτώκασιν.
from him born to-the same passions have-become-subject
6 Ὠκονόμησε τοίνυν ταῦτα τοῖς ἀσθενέσι καὶ ἀπίστοις ὁ
arranged therefore these(-things) for-the weak and unfaithful —
Θεός, μὴ βουληθεὶς παντελῶς ἐξολοθρεῦσαι τὸ ἁμαρτωλὸν
God not having-wished wholly to-destroy the sinful
τῶν ἀνθρώπων γένος διὰ πολλὴν χρηστότητα. Ἀλλ'
of-the men race because-of much kindness but
ἔδωκεν εἰς ψυχαγωγίαν καὶ θεραπείαν καὶ ἐπιμέλειαν τοῦ
he-gave for consolation and healing and care of-the

σώματος τὰ φάρμακα τοῖς τοῦ κόσμου ἀνθρώποις, καὶ
body the medicines to-the of-the world men and
τοῖς ἔξω πᾶσι· κἀκείνοις συνεχώρησε τούτους χρᾶσθαι
to-the(-ones) outside all and-to-those he-allowed these to-use
τοὺς τῷ Θεῷ μηδέπω δυναμένους ἐξ ὅλου ἑαυτοὺς
the(-ones) — to-God not-yet able from whole themselves
ἐμπιστεύειν. Σὺ δὲ ὁ μονάζων, ὁ προσεληλυθὼς τῷ
to-entrust you but the monk the(-one) having-come-near —
Χριστῷ, καὶ υἱὸς Θεοῦ βουλόμενος εἶναι, καὶ ἄνωθεν ἐκ
to-Christ and (a)-son of-God wishing to-be and from-above of
Πνεύματος γεννηθῆναι, καὶ ἀνωτέρας καὶ μείζους τοῦ
Spirit to-be-born and higher and greater than-the
πρώτου καὶ ἀπαθοῦς ἀνθρώπου ἐπαγγελίας ἐκδεχόμενος,
first and passionless man promises awaiting
τὴν εὐδοκίαν τῆς τοῦ Κυρίου ἐπιδημίας, καὶ ξένος τοῦ
the good-pleasure of-the of-the Lord sojourn and (a)-stranger to-the
κόσμου γεγονώς, καινοτέραν τινὰ καὶ ξένην πίστιν, καὶ
world having-become newer some and strange faith and
ἔννοιαν, καὶ πολιτείαν παρὰ πάντας τοὺς τοῦ κόσμου
notion and conduct beyond all the of-the world
ἀνθρώπους κεκτῆσθαι ὀφείλεις. Δόξα Πατρὶ καὶ Υἱῷ,
men to-have-acquired you-ought glory to-(the)-Father and Son
καὶ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.
and holy Spirit for the ages amen

Whoever leaves home and possessions for the Lord and does not find, in exchange, the Spirit's rest, delight, garment, and joy within has become foolish salt, the most pitiable of men. The renouncer must pass in mind into the other age and be born of the Spirit, as the setting sun gathers its rays. God, who made heaven and earth for man, made the soul and body his own house, and has deigned to dwell in his creature as his bride.

1 Ἐάν τις ἐξελθὼν τῶν ἰδίων, καὶ ἀποταξάμενος τῷ
if someone having-gone-out from-the own(-things) and having-renounced the
κόσμῳ τούτῳ, καὶ τῆς τρυφῆς τοῦ κόσμου ἀπαλλαγείς,
world this and from-the delight of-the world having-been-freed
καὶ κτημάτων, καὶ πατρός, καὶ μητρός, ἕνεκεν τοῦ
and from-possessions and father and mother for-the-sake-of the
Κυρίου, καὶ ἑαυτὸν σταυρώσας, ξένος καὶ πένης, καὶ
Lord and himself having-crucified (a)-stranger and poor and
ἐνδεὴς γένηται, ἀντὶ δὲ τῆς ἀναπαύσεως τοῦ κόσμου
needy become instead-of and the rest of-the world
ἀνάπαυσιν θεϊκήν, ἐν ἑαυτῷ μὴ εὕρῃ, καὶ ἀντὶ τῆς
rest divine in himself not find and instead-of the
προσκαίρου τρυφῆς, τρυφὴν Πνεύματος εἰς τὴν ἑαυτοῦ
temporary delight (the)-delight of-(the)-Spirit in the his-own
ψυχὴν μὴ αἴσθηται, καὶ ἀντὶ τῶν φθαρτῶν ἐνδυμάτων,
soul not perceive and instead-of the perishable garments
ἐνδύματα φωτὸς θεότητος μὴ ἀμφιάσηται, εἰς τὸν ἔσω
garments of-light of-divinity not put-on in the inner
ἄνθρωπον, καὶ ἀντὶ τῆς προτέρου καὶ σαρκικῆς κοινωνίας
man and instead-of the former and fleshly communion
ταύτης, κοινωνίαν τοῦ ἐπουρανίου ἐν τῇ ἑαυτοῦ ψυχῇ
this (the)-communion of-the heavenly(-one) in the his-own soul
ἐν πληροφορίᾳ μὴ γνῷ, καὶ ἀντὶ τῆς φαινομένης τοῦ
in full-assurance not know and instead-of the visible of-the

κόσμου τούτου χαρᾶς, χαρὰν Πνεύματος ἔνδον μὴ σχῇ,
world this joy (the)-joy of-(the)-Spirit within not have
καὶ παράκλησιν οὐρανίου χάριτος, καὶ χορτασίαν θείαν ἐν
and consolation of-heavenly grace and satisfaction divine in
τῇ ψυχῇ μὴ λάβῃ ἐν τῷ ἐποφθῆναι αὐτῷ τὴν δόξαν τοῦ
the soul not receive in the to-be-seen by-him the glory of-the
Κυρίου, κατὰ τὸ γεγραμμένον· καὶ ἀπαξαπλῶς ἀντὶ
Lord according-to the(-word) written and in-a-word instead-of
ταύτης τῆς προσκαίρου ἀπολαύσεως, ἀπόλαυσιν ἄφθαρτον
this the temporary enjoyment (an)-enjoyment incorruptible
ἐπιθυμητήν, ἐν τῇ ἑαυτοῦ ψυχῇ μὴ κτήσηται νῦν· οὗτος
desirable in the his-own soul not acquire now this(-man)
γέγονεν ἅλας μωρόν· οὗτος ἐλεεινός ἐστι παρὰ πάντας
has-become salt foolish this(-man) pitiable is beyond all
ἀνθρώπους· οὗτος καὶ τῶν ἐντεῦθεν ἐστερήθη, καὶ
men this(-man) both of-the(-things) here was-deprived and
τῶν θεϊκῶν οὐκ ἀπέλαυσε· μυστήρια θεῖα δι᾽ ἐνεργείας
the divine(-things) not he-enjoyed mysteries divine through working
τοῦ Πνεύματος οὐκ ἔγνω ἐν τῷ ἔσω αὐτοῦ ἀνθρώπῳ.
of-the Spirit not he-knew in the inner his man
Διὰ τοῦτο γὰρ ξένος τοῦ κόσμου γεγένηταί τις, ἵνα 2
because-of this for (a)-stranger to-the world has-become someone that
εἰς ἕτερον κόσμον, καὶ αἰῶνα τῷ φρονήματι μετέλθῃ ἡ
into another world and age in-the thought may-pass the
ψυχὴ αὐτοῦ, κατὰ τὸν Ἀπόστολον· Ἡμῶν γάρ, φησί,
soul his according-to the Apostle our for he-says
τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. Καὶ πάλιν, Ἐπὶ γῆς
the citizenship in heavens is and again on earth
περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα. Δεῖ
walking not according-to flesh we-war (one)-must
τοίνυν τὸν ἀποταξάμενον τῷ κόσμῳ τούτῳ, βεβαίως
therefore the(-one) having-renounced the world this firmly

πιστεῦσαι, ὅτι χρὴ εἰς ἕτερον αἰῶνα τῷ φρονήματι ἀπὸ
to-believe that (it)-is-needful into another age in-the thought from
τοῦ νῦν διὰ τοῦ πνεύματος μεταβῆναι, κἀκεῖ πολιτεύεσθαι
the now through the spirit to-pass and-there to-be-citizen
καὶ τρυφᾷν, καὶ ἀπολαύειν πνευματικῶν ἀγαθῶν, καὶ τὸν ἔσω
and to-delight and to-enjoy spiritual goods and the inner
ἄνθρωπον ἐκ πνεύματος γεννηθῆναι, καθὼς ὁ Κύριος εἶπεν·
man from spirit to-be-born as the Lord said
Ὁ πιστεύων εἰς ἐμέ, μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς
the(-one) believing in me has-passed from the death into
τὴν ζωήν· ἐπειδὴ ἔστιν ἄλλος θάνατος παρὰ τὸν φαινόμενον,
the life since there-is another death besides the visible
καὶ ἄλλη ζωὴ παρὰ τὴν φαινομένην· λέγει γὰρ ἡ Γραφὴ
and another life besides the visible says for the Scripture
ὅτι Ἡ σπαταλῶσα, ζῶσα τέθνηκεν. Καί, Ἄφετε τοὺς
that the(-woman) living-wantonly living is-dead and let the
νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς· ὅτι οὐχ οἱ νεκροὶ
dead bury the their-own dead because not the dead
αἰνέσουσί σε, Κύριε, ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες εὐλογήσομέν σε.
will-praise you Lord but we the living will-bless you
3 Ὥσπερ γὰρ ὁ ἥλιος ἀνατείλας ἐπὶ τὴν γῆν, ὅλος ἐν τῇ
as for the sun having-risen upon the earth whole on the
γῇ ἐστιν· ἐπὰν δὲ πρὸς δυσμὰς γένηται, πάσας αὐτοῦ τὰς
earth is when but toward setting it-comes all its the
ἀκτῖνας συνάγει, πορευόμενος ἐν τῷ ἑαυτοῦ οἴκῳ· οὕτως καὶ
rays it-gathers going into the its-own house thus also
ψυχή, ἡ μὴ ἄνωθεν ἐκ τοῦ Πνεύματος ἀναγεννηθεῖσα,
(the)-soul the(-one) not from-above of the Spirit reborn
ὅλη ἐν τῇ γῇ ἐστι τοῖς λογισμοῖς αὐτῆς καὶ τῷ φρονήματι
whole on the earth is in-the thoughts her and in-the thought
ἐπὶ γῆς ἐκτεινομένη, ἕως τῶν περάτων αὐτῆς· ἐπὰν δὲ
on earth stretched as-far-as the ends its when but

καταξιωθῇ τὴν ἐπουράνιον λαβεῖν τοῦ Πνεύματος γέννησιν
she-is-deemed-worthy the heavenly to-receive of-the Spirit birth
καὶ κοινωνίαν, πάντας αὐτῆς τοὺς λογισμοὺς συνάγουσα, καὶ
and communion all her the thoughts gathering and
μεθ' ἑαυτῆς ἔχουσα, εἰσέρχεται πρὸς τὸν Κύριον εἰς τὸ ἐξ
with herself having she-enters to the Lord into the from
οὐρανοῦ ἀχειροποίητον κατοικητήριον, καὶ πάντες οἱ λογισμοὶ
heaven not-made-with-hands dwelling and all the thoughts
αὐτῆς οὐράνιοι, καὶ καθαροί, καὶ ἅγιοι γίγνονται, χωροῦντες
her heavenly and pure and holy become going
εἰς ἀέρα θεϊκόν. Ῥυσθεῖσα γὰρ ἡ ψυχὴ ἐκ τῆς φυλακῆς τοῦ
into air divine delivered for the soul from the prison of-the
σκότους τοῦ πονηροῦ ἄρχοντος τοῦ πνεύματος τοῦ κόσμου,
darkness of-the evil ruler of-the spirit of-the world
εὑρίσκει λογισμοὺς καθαροὺς καὶ θείους, ὅτι εὐδόκησεν
finds thoughts pure and divine because was-pleased
ὁ Θεὸς τὸν ἄνθρωπον ποιῆσαι θείας φύσεως κοινωνόν.
— God the man to-make of-divine nature partaker
Εἰ οὖν ἀναχωρήσεις πάντων τῶν ἐν τῷ βίῳ πραγμάτων, 4
if then you-will-withdraw-from all the in the life matters
καὶ προσκαρτερεῖς τῇ εὐχῇ σου, μᾶλλον τὸν κάματον
and you-persevere in-the prayer your rather the labor
τοῦτον ἀναπαύσεως μεστὸν ἡγήσῃ· καὶ τὴν ὀλίγην
this of-rest full you-will-consider and the little
θλῖψιν, καὶ τὸν πόνον χαρᾶς καὶ ἀνέσεως ἀνάπλεων
affliction and the toil with-joy and relief full
νομίσεις μεγίστης. Εἰ γὰρ καὶ τὸ σῶμά σου καὶ ἡ ψυχή
you-will-think greatest if for even the body your and the soul
σου καταδεδαπάνητο κατὰ πᾶσαν ὥραν ἐν ὅλῳ τῷ βίῳ
your had-been-spent at every hour in whole the life
διὰ τηλικαῦτα ἀγαθά, τί τοῦτο ἦν; ὢ τῆς ἀῤῥήτου
for such goods what this would-it-be O the unutterable

εὐσπλαγχνίας τοῦ Θεοῦ, ὅτι δωρεὰν ἑαυτὸν χαρίζεται
compassion — of-God that freely himself he-grants
τοῖς πιστεύουσιν, ἐν ὀλίγῳ καιρῷ Θεὸν κληρονομῆσαι,
to-the(-ones) believing in little time God to-inherit
καὶ Θεὸν οἰκῆσαι ἐν σώματι ἀνθρώπου, καὶ ἔχειν τὸν
and God to-dwell in (the)-body of-man and to-have the
Κύριον οἰκίαν καλὴν τὸν ἄνθρωπον. Ὥσπερ γὰρ ὁ Θεὸς
Lord (as)-house beautiful the man as for — God
τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν εἰς τὸ κατοικῆσαι τὸν
the heaven and the earth created for the to-dwell the
ἄνθρωπον, οὕτως καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν τοῦ ἀνθρώπου
man thus also the body and the soul of-the man
ἔκτισεν εἰς ἰδίαν οἰκίαν, εἰς τὸ ἐνοικῆσαι καὶ ἀναπαῆναι,
he-created for (his)-own house for the to-dwell-in(-it) and to-rest
ὡς ἐν ἰδίῳ οἴκῳ, τῷ σώματι, ἔχων νύμφην καλὴν τὴν
as in own house in-the body having (as)-bride beautiful the
ἐράσμιον ψυχήν, τὴν κατ᾽ εἰκόνα αὐτοῦ πεποιημένην·
lovely soul the(-soul) after (the)-image his made
Ἡρμοσάμην γὰρ ὑμᾶς, φησὶν ὁ Ἀπόστολος, ἑνὶ ἀνδρί,
I-betrothed for you says the Apostle to-one husband
παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. Καὶ πάλιν, Οὗ
(a)-virgin pure to-present — to-Christ and again whose
οἰκός ἐσμεν ἡμεῖς. Ὥσπερ γὰρ ὁ ἀνὴρ ἐν τῷ οἴκῳ αὐτοῦ
house are we as for the man in the house his
μετὰ σπουδῆς πάντα τὰ ἀγαθὰ ἀποθησαυρίζει· οὕτω καὶ
with zeal all the goods stores-up thus also
ὁ Κύριος ἐν τῷ οἴκῳ αὐτοῦ τῇ ψυχῇ καὶ τῷ σώματι,
the Lord in the house his the soul and the body
ἀποτίθεται καὶ θησαυρίζει τὸν πλοῦτον τοῦ Πνεύματος τὸν
lays-up and treasures the wealth of-the Spirit the
οὐράνιον. Οὔτε δὲ σοφοὶ διὰ τῆς σοφίας, οὔτε φρόνιμοι
heavenly neither and (the)-wise through the wisdom nor (the)-prudent

διὰ τῆς φρονήσεως αὐτῶν ἠδυνήθησαν καταλαβεῖν ψυχῆς
through the prudence their could to-comprehend of-(the)-soul
λεπτότητα, ἢ εἰπεῖν περὶ αὐτῆς ὡς ἔστιν, εἰ μὴ μόνον
(the)-subtlety or to-speak about her as she-is except — only
οἷς διὰ τοῦ ἁγίου Πνεύματος ἀποκαλύπτεται ἡ
(those)-to-whom through the holy Spirit is-revealed the
κατάληψις καὶ γνῶσις ἀκριβὴς περὶ ψυχῆς γνωρίζεται. Ἀλλ᾽
comprehension and knowledge exact about (the)-soul is-made-known but
ἐνταῦθα θεώρει, καὶ διάκρινον, καὶ σύνες, πῶς, ἄκουσον·
here behold and distinguish and understand how hear
οὗτος Θεός, αὕτη οὐ Θεός· οὗτος Κύριος, αὕτη δούλη· οὗτος
he (is)-God she not God he Lord she (a)-slave he
κτίστης, αὕτη κτίσμα· οὗτος ποιητής, αὕτη ποίημα. Οὐδὲν
creator she creature he maker she (a)-thing-made nothing
κοινὸν τῆς αὐτοῦ φύσεως, καὶ αὐτῆς τυγχάνει· ἀλλὰ διὰ
common of-the his nature and hers is but because-of
τὴν ἄπειρον, καὶ ἄῤῥητον, καὶ ἀνεννόητον ἀγάπην, καὶ
the infinite and unutterable and inconceivable love and
εὐσπλαγχνίαν αὐτοῦ, εὐδόκησεν εἰς τοῦτο τὸ ποίημα καὶ
compassion his he-was-pleased in this the thing-made and
κτίσμα νοερόν, καὶ τίμιον καὶ ἐξαίρετον ἔργον ἐνοικῆσαι,
creature intellectual and precious and exceptional work to-dwell
ὥς φησιν ἡ Γραφή, Εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν
as says the Scripture for the to-be us firstfruits some of-the
αὐτοῦ κτισμάτων, εἰς τὴν αὐτοῦ σοφίαν καὶ κοινωνίαν,
his creatures for the his wisdom and communion
εἰς ἴδιον κατοικητήριον, εἰς ἰδίαν καὶ καθαρὰν νύμφην.
for own dwelling for own and pure bride
Τοιούτων οὖν ἀγαθῶν προκειμένων, καὶ τοιούτων 5
such then goods lying-ahead and such
ἐπαγγελιῶν ἐπαγγελθεισῶν, καὶ τοιαύτης εὐδοκίας ὑπὸ
promises having-been-promised and such good-pleasure by

Κυρίου εἰς ἡμᾶς γεγενημένης, μὴ ἀμελήσωμεν, ὦ τέκνα,
(the)-Lord toward us having-come-about not let-us-neglect O children
μήτε ὀκνήσωμεν ἐπαχθῆναι πρὸς τὴν ζωὴν τὴν αἰώνιον,
nor let-us-shrink to-be-drawn toward the life the eternal
καὶ ἑαυτοὺς ὁλοτελῶς τῇ τοῦ Κυρίου εὐαρεστήσει
and ourselves wholly to-the of-the Lord pleasing
ἐπιδοῦναι· παρακαλέσωμεν τοίνυν τὸν Κύριον, ἵνα τῇ ἰδίᾳ
to-give let-us-beseech therefore the Lord that by-the own
τῆς θεότητος δυνάμει λυτρώσηται ἡμᾶς ἐκ τῆς φυλακῆς
of-the divinity power he-may-redeem us from the prison
τοῦ σκότους τῶν παθῶν τῆς ἀτιμίας, καὶ τὴν ἰδίαν
of-the darkness of-the passions of-the dishonor and the own
εἰκόνα, καὶ τὸ πλάσμα ἐκδικήσας ἀναλάμψαι ποιήσῃ,
image and the fashioning having-avenged to-shine-again he-may-make
σώαν καὶ καθαρὰν τὴν ψυχὴν ἀπεργασάμενος, καὶ οὕτως
sound and pure the soul having-wrought and thus
ἀξιωθῶμεν τῆς κοινωνίας τοῦ Πνεύματος, δοξάζοντες
may-we-be-deemed-worthy of-the communion of-the Spirit glorifying
Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας. Ἀμήν.
(the)-Father and Son and holy Spirit for the ages amen

L · THE POWER THAT DWELT IN THE RIGHTEOUS

Elijah shut the heavens, Moses turned his rod into a serpent, David killed the giant, and Joshua stopped the sun, each by the heavenly power dwelling in him, not by nature. These things were a shadow; the hearer is to take them into himself, since when he stretches the hands of his mind to heaven Satan sinks below his thoughts. The Spirit poured out in the New Covenant is found by measure, toil, and testing, and grace at first holds only some of the soul's members.

Τίς ἦν ὁ κλείσας τὰς θύρας τῶν οὐρανῶν; Ἠλίας, ἢ ὁ 1
who was the(-one) having-shut the doors of-the heavens Elijah or —
Θεὸς ἦν ἐν αὐτῷ, ὁ ἐπιτάξας καὶ τῷ ὑετῷ; νομίζω,
God was in him the(-one) having-commanded also the rain I-think
ὅτι ὁ ἐξουσιαστὴς τῷ οὐρανῷ, αὐτὸς ἐνεκαθέσθη ἐντὸς
that the one-having-authority over-the heaven he sat within
τοῦ νοὸς αὐτοῦ, καὶ διὰ τῆς γλώσσης αὐτοῦ ὁ Λόγος
the mind his and through the tongue his the Word
τοῦ Θεοῦ ἐκώλυσε τοῦ μὴ κατελθεῖν ὑετὸν ἐπὶ τῆς γῆς.
— of-God prevented of-the not to-come-down rain upon the earth
Καὶ πάλιν εἶπε, καὶ ἠνοίγησαν αἱ πύλαι τῶν οὐρανῶν,
and again he-spoke and were-opened the gates of-the heavens
καὶ κατῆλθεν ὁ ὑετός· ὁμοίως καὶ Μωϋσῆς ἔθηκε ῥάβδον,
and came-down the rain likewise also Moses put-down (a)-rod
καὶ ἐγένετο ὄφις· καὶ πάλιν εἶπε, καὶ ἐγένετο ῥάβδος.
and it-became (a)-serpent and again he-spoke and it-became (a)-rod
Καὶ ἔλαβεν ἀπὸ καμίνου τέφραν, καὶ ἐσκόρπισε, καὶ
and he-took from (a)-furnace ash and scattered(-it) and
ἐγένετο ἕλκη· καὶ πάλιν ἐπέταξε, καὶ ἐγένετο σκνίπες, καὶ
there-came boils and again he-commanded and there-came gnats and
βάτραχοι. Ἆρα ταῦτα φύσις ἀνθρώπων ποιεῖν ἠδύνατο;
frogs then these(-things) (the)-nature of-men to-do could
Εἶπε τῇ θαλάσσῃ, καὶ ἐμερίσθη· τῷ ποταμῷ, καὶ
he-spoke to-the sea and it-was-divided to-the river and

μετεβλήθη εἰς αἷμα. Ἀλλὰ δῆλον, ὅτι οὐρανία δύναμις ᾤκει
it-was-changed into blood but (it-is)-clear that heavenly power dwelt
ἐν τῷ νῷ αὐτοῦ, καὶ διὰ Μωσέως ἐποίει τὰ σημεῖα ταῦτα.
in the mind his and through Moses did the signs these
2 Ὁ Δαβὶδ πῶς ἄνευ ὅπλου ἠδύνατο μετὰ τοιούτου γίγαντος
— *David how without weapon could-he with such (a)-giant*
συμβαλεῖν εἰς πόλεμον; Καὶ ὅτε ἔῤῥιψε τὸν λίθον κατὰ τοῦ
to-engage in war and when he-threw the stone against the
ἀλλοφύλου, διὰ τῆς χειρὸς Δαβίδ, χεὶρ Θεοῦ ὡδήγει τὸν
foreigner through the hand of-David (the)-hand of-God guided the
λίθον, καὶ αὐτὴ ἡ θεία δύναμις ἀπέκτεινεν αὐτὸν ποιήσασα
stone and the-very the divine power killed him having-made
τὴν νίκην. Οὐ γὰρ Δαβὶδ ἠδύνατο ἀσθενὴς ὢν τῷ σώματι.
the victory not for David could(-it) weak being in-the body
Ἰησοῦς ὁ τοῦ Ναυῆ ὅτε ἀπῆλθεν εἰς Ἰεριχὼ περιεκαθέσθη
Joshua the(-son) — of-Nun when he-went to Jericho sat-around(-it)
ἑπτὰ ἡμέρας μηδὲν δυνάμενος ποιῆσαι τῇ ἰδίᾳ φύσει, ἀλλ᾽
seven days nothing able to-do by-the own nature but
ὅτε ὁ Θεὸς ἐκέλευσε, τὰ τείχη ἀφ᾽ ἑαυτῶν κατέπεσε. Καὶ
when — God bade the walls of themselves fell-down and
ὅτε εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, λέγει αὐτῷ ὁ
when he-entered into the land of-the promise says to-him the
Κύριος, Ἄπελθε εἰς πόλεμον· ἀπεκρίθη Ἰησοῦς, Ζῇ Κύριος,
Lord go to war answered Joshua (as)-lives (the)-Lord
οὐ μὴ ἀπέλθω ἄνευ σοῦ. Καὶ τίς ἐστιν ὁ ἐπιτάξας
not — I-will-go without you and who is the(-one) having-commanded
τῷ ἡλίῳ στῆναι ἄλλας δύο ὥρας ἐν τῇ συμβολῇ τοῦ
the sun to-stand other two hours in the engagement of-the
πολέμου, ἡ φύσις αὐτοῦ μόνη, ἢ ἡ συνοῦσα αὐτῷ δύναμις;
war the nature his alone or the present-with him power
καὶ Μωϋσῆς ὅτε συνέβαλε τῷ Ἀμαλήκ, εἰ μὲν ἐξέτεινε
and Moses when he-engaged — Amalek if indeed he-stretched-out

τὰς χεῖρας εἰς τὸν οὐρανόν, πρὸς τὸν Θεόν, ἐπάτει τὸν
the hands to the heaven toward — God he-trod-down —
Ἀμαλήκ· εἰ δὲ ἔκλινε τὰς χεῖρας, ὁ Ἀμαλὴκ περιεγίνετο.
Amalek if but he-lowered the hands — Amalek prevailed
Σὺ δὲ ἀκούων ταῦτα γινόμενα, μὴ μακράν σου ἀπέλθῃ ὁ 3
you but hearing these(-things) happening not far from-you let-depart the
νοῦς· ἀλλ᾽ ἐπειδὴ ἐκεῖνα τύπος ἦν καὶ σκιὰ τῶν ἀληθινῶν
mind but since those (a)-type were and (a)-shadow of-the true
πραγμάτων, ἀνάλαβε εἰς ἑαυτὸν ταῦτα. Ὅτε γὰρ ἐκτενεῖς
matters take(-them) to yourself these(-things) when for you-stretch-out
τὰς χεῖρας τοῦ νοός σου, καὶ τοὺς λογισμοὺς εἰς τὸν οὐρανόν,
the hands of-the mind your and the thoughts to the heaven
καὶ θελήσεις προσκολληθῆναι τῷ Κυρίῳ, κατώτερος τῶν
and wish to-cleave to-the Lord lower than-the
λογισμῶν σου γίνεται ὁ Σατανᾶς. Καὶ ὥσπερ εἰς Ἰεριχὼ τὰ
thoughts your becomes — Satan and as at Jericho the
τείχη ἔπεσον διὰ δυνάμεως Θεοῦ, οὕτω καὶ νῦν τὰ τείχη
walls fell through power of-God thus also now the walls
τῆς κακίας τὰ κωλύοντά σου τὸν νοῦν, καὶ αἱ πόλεις τοῦ
of-the vice the(-ones) hindering your the mind and the cities —
Σατανᾶ, καὶ οἱ ἐχθροί σου ἐξολοθρεύονται διὰ δυνάμεως
of-Satan and the enemies your are-destroyed through power
Θεοῦ· οὕτως ἐν τῇ σκιᾷ Θεοῦ δύναμις ἀδιαλείπτως συνῆν
of-God thus in the shadow of-God (the)-power unceasingly was-with
τοῖς δικαίοις, ποιοῦσα θαυμάσια φανερά· καὶ ἔσωθεν δὲ ἐν
the righteous working wonders manifest and within but in
αὐτοῖς ᾤκει ἡ θεία χάρις. Ὁμοίως καὶ εἰς τοὺς προφήτας
them dwelt the divine grace likewise also in the prophets
ἐνήργει, καὶ διηκόνει τὸ Πνεῦμα ἐν ταῖς ψυχαῖς αὐτῶν τοῦ
worked and ministered the Spirit in the souls their of-the
προφητεύειν, καὶ λαλεῖν, ὅτε χρεία ἦν πράγματα μεγάλα
to-prophesy and to-speak when need was matters great

εἰπεῖν τῷ κόσμῳ. Οὐ γὰρ πάντοτε ἐλάλουν, ἀλλ᾽ ὅτε ἤθελε
to-say to-the world not for always did-they-speak but when wished
τὸ ἐν αὐτοῖς Πνεῦμα· πλὴν ἡ δύναμις πάντοτε συνῆν.
the in them Spirit but the power always was-with(-them)
4 Εἰ οὖν εἰς τὴν σκιὰν τοσοῦτον ἐξεχύθη τὸ Πνεῦμα τὸ
if then into the shadow so-much was-poured-out the Spirit the
ἅγιον, πόσῳ μᾶλλον εἰς τὴν Καινὴν Διαθήκην, εἰς τὸν
holy how-much more into the New Covenant into the
σταυρόν, εἰς τὴν ἔλευσιν τοῦ Χριστοῦ, ὅπου ἐγένετο ἡ
cross into the coming — of-Christ where took-place the
ἔκχυσις καὶ ἡ μέθη τοῦ Πνεύματος; Ἐκχεῶ γάρ, φησί,
outpouring and the drunkenness of-the Spirit I-will-pour-out for he-says
ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. Τοῦτό ἐστιν
from the Spirit my upon all flesh this is
ὃ εἶπεν αὐτὸς ὁ Κύριος, ὅτι Μεθ᾽ ὑμῶν ἔσομαι ἕως τῆς
what said the-very the Lord that with you I-will-be until the
συντελείας τοῦ αἰῶνος· πᾶς γὰρ ὁ ζητῶν εὑρίσκει.
consummation of-the age every(-one) for the(-one) seeking finds
Εἰ γάρ, φησίν, ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ
if for he-says you evil being know gifts good
διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον Πατὴρ ὑμῶν
to-give to-the children your how-much more (the)-Father your
ὁ οὐράνιος δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν,
the heavenly will-give (the)-Spirit holy to-the(-ones) asking him
δυνάμει καὶ πληροφορίᾳ πολλῇ κατὰ τὸν Ἀπόστολον;
in-power and full-assurance much according-to the Apostle
Τὰ οὖν τοιαῦτα καὶ μέτρῳ, καὶ πόνῳ, καὶ κόπῳ πολλῷ,
the(-things) then such both by-measure and toil and labor much
καὶ ὑπομονῇ, καὶ φιλίᾳ τῇ πρὸς αὐτὸν εὑρίσκεται,
and patience and friendship the(-friendship) toward him are-found
γυμναζομένων τῶν αἰσθητηρίων τῆς ψυχῆς, κατὰ τὸ
being-trained the senses of-the soul according-to the(-word)

εἰρημένον, διὰ καλοῦ τε καὶ κακοῦ, δηλαδὴ διά τε τῶν
said by good both and evil namely through both the
μηχανῶν καὶ ἐπιβουλῶν, καὶ πολυτρόπων περιστάσεων, καὶ
devices and plots and manifold circumstances and
ἐνεδρῶν τῆς κακίας· ὁμοίως δὲ καὶ διὰ τῶν διαφόρων
ambushes of-the vice likewise and also through the different
χαρισμάτων καὶ ποικίλων ἀντιλήψεων τῆς ἐνεργείας
gifts and various supports of-the working
καὶ δυνάμεως τοῦ Πνεύματος. Ὁ γὰρ γνωρίζων τὴν
and power of-the Spirit the(-one) for knowing the
ἐπουλὴν τῆς κακίας διὰ τῶν παθῶν μιαίνουσαν τὸν ἔσω
scar of-the vice through the passions defiling the inner
ἄνθρωπον, καὶ μὴ ἐπιγινώσκων ἐν αὐτῷ τὴν ἀντίληψιν τοῦ
man and not recognizing in himself the support of-the
ἁγίου Πνεύματος τῆς ἀληθείας ἐνδυναμοῦσαν αὐτοῦ τὴν
holy Spirit of-the truth strengthening his the
ἀσθένειαν καὶ ἀνανεοῦσαν τὴν ψυχὴν ἐν ἀγαλλιάσει καρδίας,
weakness and renewing the soul in exultation of-heart
ὁ τοιοῦτος ἐν ἀδιακρισίᾳ πορεύεται, μὴ γνωρίζων γε
the such(-man) in indiscrimination walks not knowing indeed
μὴν τὴν πολύτροπον οἰκονομίαν τῆς τοῦ Θεοῦ χάριτος καὶ
truly the manifold dispensation of-the — of-God grace and
εἰρήνης. Καὶ πάλιν δὲ ὁ βοηθούμενος ὑπὸ τοῦ Κυρίου,
peace and again but the(-one) helped by the Lord
καὶ εὑρισκόμενος ἐν εὐφροσύνῃ πνευματικῇ καὶ χαρίσμασι
and found in gladness spiritual and gifts
ἐπουρανίοις, ἐὰν νομίσῃ μηκέτι ἀνακεῖσθαι ὑπὸ τῆς
heavenly if he-think no-longer to-be-held by the
ἁμαρτίας, ἀπατᾶται κλεπτόμενος, μὴ διακρίνων λεπτότητα
sin he-is-deceived being-stolen not discerning (the)-subtlety
τῆς κακίας· καὶ μὴ συνιὼν τὴν κατὰ μέρος γενομένην τῆς
of-the vice and not understanding the by part having-come of-the

νηπιότητος αὔξησιν καὶ τελειότητα ἐν Χριστῷ. Διὰ γὰρ τῆς
infancy growth and perfection in Christ through for the
ἐπιχορηγίας τοῦ ἁγίου καὶ θεϊκοῦ Πνεύματος ὁμοῦ τε καὶ ἡ
supply of-the holy and divine Spirit together both also the
πίστις αὐξανομένη εἰς προκοπὴν ἔρχεται, καὶ πᾶν ὀχύρωμα
faith increasing to advance comes and every stronghold
πονηρῶν λογισμῶν κατὰ μέρος χωρεῖ εἰς καθαίρεσιν
of-evil thoughts by part goes to destruction
παντελῆ. Ἐρευνᾷν οὖν ὀφείλει ἕκαστος ἡμῶν, εἰ εὗρεν
complete to-search then ought each of-us whether he-has-found
ἐν τῷ ὀστρακίνῳ τούτῳ σκεύει τὸν θησαυρόν, εἰ ἐνεδύσατο
in the earthen this vessel the treasure whether he-has-put-on
τὴν πορφύραν τοῦ πνεύματος, εἰ εἶδε τὸν βασιλέα, καὶ
the purple of-the spirit whether he-has-seen the king and
ἀνεπαύθη ἐγγύτατος αὐτοῦ γενόμενος, εἴτε ἀκμὴν εἰς τοὺς
rested nearest to-him having-become or still in the
ἐξωτάτους οἴκους διακινεῖ· ἡ γὰρ ψυχὴ ἔχει μέλη πολλά,
outermost houses he-moves-about the for soul has members many
καὶ βάθος πολύ, καὶ λοιπὸν ἡ ἁμαρτία ἐπεισελθοῦσα
and depth much and henceforth the sin having-come-in-upon(-her)
κατέσχεν αὐτῆς ὅλα τὰ μέλη καὶ τὰς νομὰς τῆς καρδίας.
held her all the members and the pastures of-the heart
Εἶτα ἐπιζητοῦντος τοῦ ἀνθρώπου ἔρχεται ἡ χάρις πρὸς
then seeking the man comes the grace to
αὐτόν, καὶ κατέχει δύο μέλη τῆς ψυχῆς ἴσως. Ὁ οὖν
him and holds two members of-the soul perhaps the then
ἄπειρος, παρακαλούμενος ὑπὸ τῆς χάριτος, νομίζει, ὅτι
inexperienced(-man) being-comforted by the grace thinks that
ἐλθοῦσα ἡ χάρις ὅλα τὰ μέλη τῆς ψυχῆς κατέσχε, καὶ
having-come the grace all the members of-the soul held and
ἐξερρίζώθη ἡ ἁμαρτία. Τὸ πλεῖστον δὲ μέρος τῆς ἁμαρτίας
was-uprooted the sin the most but part of-the sin

κρατεῖται, καὶ ἓν μέρος ὑπὸ τῆς χάριτος· καὶ ὑποκλέπτεται
is-held and one part by the grace and he-is-stolen-from
καὶ οὐκ οἶδε. Διὰ πλειόνων δὲ ἔτι περὶ τούτων ἔχοντες
and not knows through more but still about these having
ἐπιστεῖλαι τῇ διαθέσει τῆς ὑμετέρας εἰλικρινείας, δι᾽
to-write to-the disposition of-the your sincerity through
ὀλίγων ἐδώκαμεν ὑμῖν ἀφορμὴν ὡς συνετοῖς ἀνδράσιν, ἵνα
few we-have-given you (a)-starting-point as to-intelligent men that
ἐργασάμενοι καὶ ἐξερευνήσαντες τὴν τῶν λόγων δύναμιν,
having-worked and having-searched-out the of-the words power
συνετώτεροι γένησθε ἐν Κυρίῳ, καὶ τὴν ἁπλότητα τῆς
more-intelligent you-may-become in (the)-Lord and the simplicity of-the
καρδίας ὑμῶν αὐξάνητε ἐν τῇ αὐτοῦ χάριτι, καὶ δυνάμει
heart your you-may-increase in the his grace and power
τῆς ἀληθείας, ἵνα μετὰ πάσης ἀσφαλείας ἀντεχόμενοι τῆς
of-the truth that with all security holding-fast the
ἑαυτῶν σωτηρίας, καὶ ῥυσθέντες ἀπὸ πάσης περιεργείας καὶ
your-own salvation and delivered from all curiosity and
δολιότητος τοῦ ἀντικειμένου καταξιωθῆτε ἄπτωτοι καὶ
craftiness of-the adversary you-may-be-deemed-worthy unfalling and
ἀκαταγώνιστοι, εὑρεθῆναι ἐν τῇ ἡμέρᾳ τῆς διαγνώσεως τοῦ
unconquered to-be-found in the day of-the discernment of-the
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος
Lord our Jesus Christ to-whom (be)-the glory and the might
σὺν τῷ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι αὐτοῦ νῦν, καὶ
with the Father and the life-giving Spirit his now and
ἀεί, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.
always and for the unending ages of-the ages amen
